634. *σισυρνόδυται*] Sic Par. ACH. Vit. I. Ciz. Pal. 40. et Editt. Ald. et Sebast. *σισυρνοδύται* Par. BDEFJKL. Vind. II. Vit. II. Neap. II. III. Rehd. et Editt. Basil. I. II. et reliquae omnes. *σισυρνοδῖται* Par. G. Neap. I. Vind. IV. Vit. III. Etym. M. p. 714, 28: *σισύρνα ἐστὶ παχὺ περιβόλαιον, ἢ δερμάτινον ἱμάτιον· Λυκόφρων, σισυρνοδῦται καρκίνοι.* Cf. Hesych. v. *σίσυρνον.* — *καρκίνοι*] Par. ABDEFHJKL. Neap. II. Vind. II. Vit. II. et Editt. Ald. Basil. I. Paris. II. et Reich. *καρκῖνοι* Par. CG. Neap. I. III. Vind. IV. Vit. I. III. Ciz. Pal. 40. Rehd. et Editt. Basil. II. Steph. Commel. Pott. utrq. Meurs. utrq. et Sebast. De accentu huius vocis omnino legendus est Herodianus Dindorfii p. 20, 8—18. Cf. Draco Straton. p. 53, 9. Etym. M. p. 488, 3. Minus accurate Arcadius de Accent. p. 65, 14. *τὰ εἰς ινος μακρὸν τὸ ῑ ἔχοντα, ὅσα ἐν ὕδατι διαιτᾶται, προπερισπῶνται· ἐχῖνος, κορακῖνος, φωξῖνος, καρκῖνος. ἐχρῆν κατὰ τὸ προπερισπᾶσθαι ὁ μικρὸς βάτραχος.* — *πεπλωκότες*] Hanc Ionicam formam h. l. et infra v. 1084. meliores libri tuentur: Par. ABCDEG. (in quo tamen ab alia manu inserta sunt *τε* et *ευ*) Neap. II. III. Vind. II. IV. Vit. I. II. III. Ciz. Pal. 40. et Editt. Basil. I. et Sebast. *πεπλωκότες* Par. H. *πεπλευκότες* Par. FJKL. Neap. I. Rehd. et Editt. Ald. Basil. II. Paris. II. Commel. Steph. Meurs. utrq. Pott. utrq. et Reich. Particulam *τε*, quam ex meis Codd. solus Par. G. ex inepta correctura habet, recte omittunt Editt. Basil. I. Par. II. Pott. utrq. et Sebast. Est nimirum nihil aliud nisi sequentis syllabae repetitio. Exhibet eam autem Aldina, et quae eius aucturitatem nonnunquam superstitiosius sequutae sunt, Basil. II. Commel. Steph. Meurs. utrq. et Reich.

635. *ἄχλαινον*] *ἀχλαῖνον* Ciz. — *ἀμπρεύσουσι*] *Hesychius: ἀμπρεύειν· προτονίζειν, ἕλκειν, ἁμαξηλατεῖν.* *Etym. M.* p. 86, 30. *ἀμπρεύω· ὁ μὲν Καλλίμαχος κυρίως ἐπὶ τοῦ ἕλκειν ἔλαβε τὴν λέξιν·* (Cf. Fragm. Callim. p. 350. et 526. edit. Ernest.) — *ὁ δὲ Λυκόφρων ἐπὶ τοῦ κακοπαθεῖν ἔλαβε τὴν λέξιν· οἷον, ἄχλαινον ἀμπρεύσουσιν ἤλιποι βίον.* *Eustath.* ad Iliad. ζ. 40. p. 623, 38. edit. Rom. (Tom. II. p. 84, 10. edit. Lips.) — *νήλιποι*] Par. ABCEFGHJK. Vind. IV. Vit. III. Pal. 40. Rehd. Paraphr. Vatic. et sola Edit. Sebast. *ἤλιποι* Vind. II. vitiose. *νήλιπον* Par. DL. Vit. I. II. Ciz. Editt. Ald. Basil. I. et reliquae, praeter novissimam, omnes. Ad hunc Lycophronis locum spectant fortasse verba *Etym. M.* p. 603, 31. *νήλιπος, ἀνυπόδητος καὶ μονοχίτων* (quod pertinet ad *ἄχλαινος*) *κατὰ στέρησιν τοῦ νη. τὸ δὲ νήλιποι, ἀνυπόδητοι, συνήρηται ἀπὸ τοῦ*

*τὴν Τυρσηνίαν* Par. A. *περὶ Βοιωτῶν· οἱ δὲ Βοιωτοί* Par. C. *πεφιάδύτους — νῆσοι περὶ Τυρσηνίαν* Pal. 40.

634. *Οἱ δερματοχίτωνες, οἱ δερματίνους χιτῶνας ἔχοντες· διὰ τὸ τρίβειν αὐτοὺς ἐν ταῖς πέτραις καρκίνους ὠνόμασεν — πλεύσαντες* Par. A. *δερματοχίτωνες, οἱ τὸ δέρμα ἐνδυόμενοι — οἱ αὐτοὶ διὰ τὸ ἐν πέτραις διατρίβειν — πλεύσαντες* Vind. II. *χιτῶνας ἐνδεδυμένοι — Βοιωτοὶ διὰ τὸ σκληρυνθῆναι — ἀπὸ τῆς ξένης* Pal. 40.

635. *Ἄνευ χλαίνης κακοπαθήσουσιν ἀνυπόδητοι βίον* Par. A. *διάξουσι* Par. C. *δίχα χλαί-*

τριπλαῖς δικώλοις σφενδόναις ὡπλισμένοι.
ὧν αἱ τεκοῦσαι τὴν ἑκηβόλον τέχνην
ἄδορπα παιδεύσουσι νηπίους γονάς.
οὐ γάρ τις αὐτῶν ψίσεται πύρνον γνάθῳ,
πρὶν ἂν κρατήσῃ ναστὸν εὐστόχῳ λίθῳ,

*νηλίποδες. Hesych. νηλίπεζοι, ἢ νήλιποι· ἀνυπόδητοι.* Cf. Schol. in Soph. Oedip. Colon. v. 349. (Elmsl.) quem laudat Suidas v. *νηλίπους.* Alias huius vocis derivationes commenti sunt Scholiastes Theocriti ad Idyll. IV. 56. et *Eustath.* ad Iliad. *ζ*. 31. p. 787, 50 sqq. edit. Rom. (Tom. II. p. 312, 28. edit. Lips.) *ὁ δὲ τοιοῦτος ποὺς (αὐχμηρός, ἀλιπής) καὶ νήλιπος, οὗ ἐντελὲς ὁ νηλίπους. ἔνθα ζητητέον διὰ τί μὴ, ὥσπερ Οἰδίπους Οἰδίπος, καὶ ἀελλόπους ἀελλόπος ἐν φυλακῇ ὁμοίᾳ τόνου, οὕτω καὶ νηλίπους νηλίπος, ἀλλὰ προπαροξυτόνως νήλιπος. καὶ λυτέον, ὅτι δοκεῖ μὴ ὁ ποὺς ἐγκεῖσθαι τῇ τοιαύτῃ λέξει, ἀλλ' αὐτόχρημα τὸ λίπος, ἵνα ᾖ ταὐτὸν ἀλιπὴς καὶ νήλιπος.* Similia sunt *ἀρτίπος* (Vid. Schol. Venet. ad Iliad. *ι*. 505.) *ἀελλόπος* (Eustath. ad Iliad. l. l. p. 768, 47. edit. Rom.) *Οἰδίπος, τειρέπος. πούλυπος* tamen et *πώλυπος* secundum *Eustath.* ad Odyss. *ε*. 432. p. 1541, 22. edit. Rom. (Tom. I. p. 225, 17. edit. Lips.) — *βίον*] *πόνον* Steph. Byz. Codd. Paris. 1412. et 1413. et Ms. Perusin. a Iacob. Gronovio collatum. — 636. Potterus: „Huc respexit Eustathius Commentario in Dionys. Perieg. v. 457. (p. 186. 25. edit. Bernh.) *ἄριστοι δὲ σφενδονᾶν οἱ ἐν αὐταῖς, ὡς καὶ Λυκόφρων ἱστορεῖ, σφενδόνας ἀνὰ τρεῖς ἔχοντες ἐν τῇ κεφαλῇ.* Alii tamen tradunt, harum fundarum unam a collo pendere, altera accinctos fuisse, tertiam manu tenuisse."

637. *τὴν ἑκηβόλον*] *ἑκηβόλον* Par. DK. Vit. III. et Ms. Canteri. Quam lectionem licet etiam Meursius ex coniectura proposuerit, intelligentiores tamen poetici sermonis non dubitabunt repudiare. Cf. Aesch. Prom. 713. (Well.) *ἑκηβόλοις τόξοισιν.* — 638. *παιδεύσουσι*] Sic Par. AEFHJK. Vind. IV. Vit. III. Pal. 40. Rehd. Paraph. Vatic. et Impressi omnes. *παιδεύουσι* Par. BCDGL. Vind. II. Vit. I. II. Ciz. Frustra Muellerus hanc lectionem, ut aptiorem, defendere studuit. Immo totius loci sensus et concinnitas orationis Futurum flagitant. — *γονάς*] Par. ACDE FGHJKL. Vatic. 1307. Vind. II. IV. Vit. I. II. III. Ciz. Pal. 40. et Paraph. Vatic. *γόνους* Par. B. Rehd. et ex Ald. et Basil. I. reliquae Editt. omnes. *Hesych. γονάς· τέκνα. Lex. Seguer.* p. 186, 25. *γονάς· υἱούς. γεννήσεις.* Si incorrupto aurium iudicio uteris, non dubitabis, utram harum lectionum praeferendam existimes. — 639. *ψίσεται*] *ψίσσεται* Par. J. *ψήσεται* Par. GH. Vind. IV. Vit. I. III. Ciz. et Etym. M. v. *ναστός*, laudato Lycophronis versu. *Suidas: ψίω, τὸ ἐμβρωματίζω. καὶ ψίσαι, ψωμίσαι. καὶ ψισθεῖεν, ψωμισθεῖεν, τραφεῖεν διὰ ψιχῶν.* Cf. Etym. M. p. 220, 48. et 818, 5. et 48. — 640. *κρατήσῃ*] *κροτήσῃ* Par. C. e correctura. — *ναστόν*] *Athen.* III. p. 111, c. *ναστὸς ἄρτος ζυμίτης καλεῖται μέγας, ὥς φησι Πολέμαρχος καὶ Ἀρτεμίδωρος· Ἡρακλέων δὲ πλακοῦντος εἶδος.* Cf. Hesych. v. *ναστός.* ibique Interpp. Etymol. M. p. 597, 56.

*νης κακοπαθήσουσιν οἱ στερούμενοι τῆς τροφῆς, οἱ ἐνδεόμενοι. ἀνυπόδητοι* Vind. II. 636. *Τρισσαῖς δισκελέσιν ταῖς σφενδόναις καθωπλισμένοι* Par. A. *διπτύχοις* Par. C. *διπλόκοις* Par. B. *δύο ἄκρα ἐχούσαις* Pal. 40. 637. *Ὧν αἱ γεννήσασαι τὴν τοξικὴν τέχνην* Par. A. *σφενδονητικήν* Pal. 40. 638. *Νηστείαις ἐκπαιδεύσουσιν τοὺς μικροὺς υἱεῖς* Par. A. 639. *Οὐδεὶς γὰρ αὐτῶν γεύσεται ἄρτον, τροφήν, τῷ στόματι* Par. A. *ἀπὸ τῶν παίδων γεύσεται τροφήν, ἄρτον ἐν τῷ στόματι* Vind. II. *φάγῃ, συντρίψῃ* Pal. 40. 640. *Πρὶν ἢ κατάσχῃ ἄρτον, πλακοῦντα, εὐστόχῳ βολῇ* Par. A. *πλαστὸν ἄρτον* Par. B. *κρούσῃ ἄρτον* Par. C. *κρούσῃ ἄρτον ἐν τῇ τῆς σφενδόνης βολῇ* Vind. II.

*ὑπὲρ τράφηκος σῆμα κείμενον σκοποῦ.*
*καὶ τοὶ μὲν ἀκτὰς ἐμβατήσονται λεπρὰς*
*Ἰβηροβοσκοὺς ἄγχι Ταρτησοῦ πύλης,*
*Ἄρνης παλαιᾶς γέννα, Τεμμίκων πρόμοι,*
*Γραῖαν ποθοῦντες καὶ Λεοντάρνης πάγους,*
*Σκῶλόν τε καὶ Τέγυραν Ὀγχηστοῦ θ' ἕδος,*

Eustath. ad Odyss. *φ'*. 122. p. 1904, 34. edit. Rom. (Tom. II. p. 254, 5. edit. Lips.) — *εὐστόχῳ*] *εὐστόλῳ* Rehdig. — 641. *τράφηκος*] *τραφῆκος* Vit. III. contra Grammaticorum canonem. Vid. *Arcad.* de Accent. p. 18, 18. *Πᾶν ὄνομα εἰς ξ λῆγον ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένον, καὶ μίαν συλλαβὴν φυλάττοι τοῦ ῥήματος, καὶ ἐπιθετικὸν ὑπάρχοι μὴ ἐθνικόν.* et p. 19, 3. *τὰ εἰς ηξ σύνθετα ἐπιθετικὰ βαρύνεται· μύρμηξ, σκώληξ, ἀλώπηξ.* Lycophronis locum explicat Etym. M. p. 764, 34. — 642. *ἐμβατήσονται*] Par. ABCDEFGK. Neap. I. II. III. Vind. II. IV. Vit. II. III. Pal. 40. Paraphr. Vat. et Editt. excepta Basil. I. omnes. *ἐμβατησονται* (εὐ supra) Rehd. *ἐμβατεύσονται* Par. HJL. Vit. I. Ciz. et Edit. Basil. I. Non deerunt fortasse, quibus haec forma, Tragicis usitata, magis arrideat. At formae Ionicae et meliores libri et ipsius raritas locum in Lycophrone satis vindicant. Legitur etiam apud Nicandr. Theriac. v. 147. et 804. Cf. D'Orvill. Vann. crit. cap. X. p. 445.
643. *Ἰβηροβοσκούς*] Par. ACG. Vat. 1307. Vit. I. II. III. Ciz. Pal. 40. et Edit. Basil. I. Reliquae Editt. omnes vitiose *Ἰβηροβόσκους*. Vid. *Arcad.* de Accent. p. 87, 25. *τὰ παρὰ τὸ βόσκω [συντεθειμένα] ὀξύνονται· πορνοβοσκός, ὑοβοσκός, χηνοβοσκός.* — *Ταρτησοῦ*] Par. ACEGHK. Vatic. 1307. Neap. I. II. III. Vind. IV. Vit. II. III. Pal. 40. Rehd. et Editt. Ald. Basil. I. et, duabus ultimis exceptis, reliquae omnes. *Ταρτησσοῦ* Par. BDFJL. Vind. II. Vit. I. Ciz. et Editt. Reich. et Sebast. Vid. *Bernhardy* ad Dionys. Perieg. v. 337. p. 604. — 644. *Τεμμίκων*] *Τεμίκτων* Par. A. *Τεκμίκων* Vind. II. Cf. Steph. Byz. v. *Τέμμιξ*. *Nonn.* Dionys. V. 39. — 645. *πάγους*] *πάγας* Par. H. *Λεοντάρνης θ' ἕδος* Par. K. ex sequente versu repetitum. — 646. *Τέγυραν*] Sic Par. ABCDEFHJKL. Neap. II. III. Vind. II. Vit. I. II. Ciz. Pal. 40. Rehdig. et Editt. Ald. et Pott. utrq. Vid. Steph. Byz. h. v. *Τέγυρον* Par. G. Vind. IV. et Vit. III. *Τέγγυραν* solus Neap. I. et Editt. Basil. I. II. Par. II. Commel. Meurs. utrq. Reich. et Sebast. — *Ὀγχηστοῦ*] *Ὀρχηστοῦ* Neap. III. Vind. II. et

641. *Νῦν τοῦ ξύλου, ὅπου ὁ ἄρτος ἔκειτο· ἔστι δὲ ἡ εὐθεῖα τράφηξ· σημεῖον τοῦ σκοποῦ κείμενον* Par. A. *σανίδος* Par. C. *τράφηξ σανὶς πλατεῖα — κορμοῦ* Pal. 40.
642. *Καὶ οὗτοι μὲν τοὺς αἰγιαλοὺς περιπατήσουσιν — τὰς ὑπὸ τῆς θαλάσσης λεπρωθείσας ἢ βεβρωμένας* Par. A. *οὗτοι — περιπατήσουσι, κατοικήσουσι τὰς ὑπὸ τῆς θαλάσσης βεβρωμένας* Vind. II. *ἐνδιατρίψουσι — πετρώδεις* Pal. 40. 643. *Σπανικάς, παρόσον πλησίον Ἰβηρίας ἔχουσιν αἱ νῆσοι· νῦν δὲ ἡ Ἰβηρία Σπανία λέγεται· νῆσος πλησίον Ἡρακλείων στηλῶν, Ταρτησσὸς λεγομένη* Par. A. *νῆσος καὶ πόλις πλησίον τῶν Ἡρακλείων στηλῶν* Par. B. *νήσου* Par. C. *Σπανικάς — τῶν Γαδείρων τῶν Ἡρακλείων στηλῶν, νήσου* Vind. II. *ἐχούσας πρόβατα πολλά — νῆσος καὶ πόλις — διὰ τὸ στενὸν δι' οὗ ἐκπλεῖ εἰς τὸν ὠκεανόν* Pal. 40.
644. *Πόλεως Βοιωτίας — ἡ τροφός — τῶν Βοιωτῶν πρόμαχοι* Par. A.
645. *Τὴν νῦν Τάναγραν καλουμένην πόλιν Βοιωτίας, καὶ Ποιμανδρίαν — πόλεως Βοιωτίας ὄχθους, κρημνούς* Par. A. *ζητοῦντες — τοὺς τόπους* Vind. II. *Τάναγραν — ἐξοχάς* Par. C.
646. *Πόλεις Βοιωτίας — πόλεως Βοιωτίας τὸ ἔδαφος* Par. A. *ἱεροὶ Ποσειδῶνος* Vind. II.

*καὶ χεῦμα Θερμώδοντος Ὑψάρνου θ' ὕδωρ.*
*Τοὺς δ' ἀμφὶ Σύρτιν καὶ Λιβυστικὰς πλάκας,*
*στενήν τε πορθμοῦ συνδρομὴν Τυρσηνικοῦ,*
*καὶ μιξόθηρος ναυτιλοφθόρους σκοπάς,*
*τῆς πρὶν θανούσης ἐκ χερῶν Μηκιστέως*
*τοῦ στερφοπέπλου Σκαπανέως Βοαγίδα,*

Pal. 40. cum glossa *Ποσειδῶνος*. — 647. *Θερμώδοντος*] *χερμώδοντος* Par. C. Pro *Ὑψάρνου θ' ὕδωρ* etiam h. l. in Par. K. e priori versu repetitum est *Ὀγχηστοῦ θ' ἕδος*. — 648. *Λιβυστικάς*] *Λιβιστικάς* Par. G. Vind. IV. Vit. II. Ciz. *Λυβικάς* Vit. III. *Λιβυστικάς* Par. C. *Λιβυκάς* Par. H. *Λιβυκάς* Par. K. — 649. *Τυρσηνικοῦ*] *Τυρσηνικοῦ* Par. J. 650. *ναυτιλοφθόρους*] *ναυτιλοφόρους* Par. AF. *ναυτιλοφθόρου* Par. J. 651. *χερῶν*] *χειρῶν* Par. L. Vit. I. Ciz. Pal. 40. et Editt. Basil. I. et Steph. *χειρός* Par. DEGJ. Vind. II. IV. Vit. II. III. *χειρός* Par. K. 652. *στερφοπέπλου*] Herculis, quem infra v. 1347. dicit *στέρφος ἐγχλαινούμενον*, leonina pelle chlamydatum. *Hesychius et Lex. Seguer.* p. 371., 32. *στέρφος. δέρμα. βύρσα.* Schol. ad Apoll. Rhod. IV. 1348. *στέρφεσιν αἰγείοις· τοῖς δέρμασιν, ἔνθεν καὶ στερφῶσαι. Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. ὅθεν καὶ παρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν μελανοστέρφων γένος, οὐχ ὥς τινες, μελανοστέρνων, οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται.* Etym. M. p. 726, 22 sq. *στέρφος· ἐστιν ἔρεφος* (corrige *ἔρφος*. Vid. Nicandr. Ther. 376. Alex. 248. 343.) *καὶ στέρφος — καὶ στερφόπεπλος ὁ Ἡρακλῆς, διὰ τὸ δέρμα τοῦ λέοντος, ᾧ ἐχρῆτο ἀντὶ περιβολαίου. λέγεται δὲ καὶ Σκαπανεύς, διότι ἔσκαψε τὰς κόπρους τῶν Αὐγείου βοῶν· Βουγαιάδας δέ*, (corr. *Βουαγίδας*) *διὰ τὰς Γηρυόνου βοῦς. Λυκόφρων.* Schol. ad Nicandr. Alex. v. 248. *ἔρφος δὲ τὸ δέρμα, ὅπερ οἱ Ἴωνες στέρφος λέγουσι· διὸ καὶ στερφῶσαι λέγομεν ἐν τῇ συνηθείᾳ.* ubi valde dubitandum est, an recte Schneiderus *τέρφος* et *τερφῶσαι* ediderit; licet illud apud ipsum Nicandrum Ther. 323. in-

647. *Τὸ ῥεῖθρον καὶ νᾶμα τῶν ποταμῶν τῆς Βοιωτίας* Par. A. *τῆς Παφλαγονίας — ποταμός* Pal. 40.
648. *Τοὺς δὲ περὶ τὴν Σύρτιν· ἔστι δὲ ὄνομα θαλάσσης ἐν Λιβύῃ· τὴν Λιβύην λέγει* Par. A. *ἤγουν τοὺς πλανηθέντας* Par. C. *ὄντως τοὺς περὶ τὸν Ὀδυσσέα — ὄνομα θαλάσσης ἐν Λιβύῃ· περιφραστικῶς τὴν Λιβύην* Vind. II. 649. *Καὶ τὴν στενὴν τοῦ πορθμοῦ συνδρομήν· πορθμὸς δέ ἐστι ἡ μεταξὺ δύο γαιῶν θάλασσα· τοῦ Τυῤῥηνικοῦ* Par. A. *ἡ μεταξὺ δύο θαλασσῶν γῆ πορθμὸς καλεῖται* Par. B. *πελάγους* Par. C. *δίοδον· πορθμὸς οὗτος μέσον κεῖται τοῦ Ἀδριατικοῦ καὶ Τυρσηνικοῦ πελάγους, τοῦ μὲν λήγοντος, τοῦ δὲ ἀρχομένου* Pal. 40.
650. *Τῆς Σκύλλης· φασὶ τὴν Σκύλλαν ἓξ κεφαλὰς ἔχειν, μίαν κάμπης, ἑτέραν λέοντος, ἄλλην κυνός, καὶ ἄλλην Γοργόνος, καὶ ἑτέραν φαλαίνης, καὶ ἕκτην ἀνθρώπου· σκοπὰς δέ, τοὺς σκοπέλους· Ὅμηρος· αὐτοῦ τ' ἰχθυάᾳ σκόπελον περιμαιμώωσα* (Odyss. μ'. 95.) Par. A. *ναυτοφθόρους* Par. B. *νηοφθόρους, τὰς συντριβούσας τὰς ναῦς — ἐξοχάς, ἀκρωτήρια* Par. C. *τὰς φθαρτικὰς τῶν ναυτῶν ἐξοχάς* Pal. 40.
651. *Τῆς πρότερον τεθνηκυίας ἐκ τῶν χειρῶν Ἡρακλέους* Par. A. *Ἡρακλέους· οὕτω γὰρ τιμᾶται παρὰ Ἠλείοις* Par. C. 652. *Τοῦ δερματοφόρου Ἡρακλέους, τοῦ ἔχοντος πέπλον· στέρφος δὲ ἡ τοῦ λέοντος δορά· ἐπίθετα καὶ ἐπώνυμα Ἡρακλέους· Σκαπανεὺς καὶ Βοαγίδας εὐθεῖαι* Par. A. *λεοντῆν ἐνδεδυμένου· στέρφος γὰρ τοῦ λέοντος δέρμα· ἢ λεοντοπέπλου — τοῦ σκάψαντος τὴν*

ἁρπυιογούνων κλώμακάς τ᾽ ἀηδόνων
πλαγχθέντας, ὠμόσιτα δαιταλωμένους,
πρόπαντας ᾅδης πανδοκεὺς ἀγρεύσεται,
λώβαισι παντοίαισιν ἐσπαραγμένους,
ἕνα φθαρέντων ἄγγελον λιπὼν φίλων,
δελφινόσημον, κλῶπα Φοινίκης θεᾶς.
ὃς ὄψεται μὲν τοῦ μονογλήνου στέγας
χάρωνος, οἴνης τῷ κρεωφάγῳ σκύφον

veniatur. — *Βοαγίδα*] *Βουαγίδα* Rehd. Infra v. 1346. eadem de causa *βοηλάτης* dicitur Hercules. — 653. *ἁρπυιογούνων*] *ἁρπυογούνων* Par. AB. et Edit. Steph. — *κλώμακας*] *χλώμακας* Par. GK. Vind. IV. Vit. III. Hunc locum tetigit *Eustathius* ad Iliad. β. 729. p. 330, 36. edit. Rom. (Tom. I. p. 268, 8. ed. Lips.) *καὶ ὅρα ὅτι τὸ κλωμακόεν ἐπὶ ὀχυροῦ τέθειται τόπου, ἐν ᾧ εἰσι κλώμακες, ὁποίων καὶ ὁ Λυκόφρων μέμνηται, ὅ ἐστι τόποι ἢ λόφοι κατὰ τοὺς παλαιοὺς ὑψηλοί.* — 654. *πλαγχθέντας*] *πλαχθέντας* Par. H. Vind. IV. (in quo tamen γ rubro colore insertum est) et Pal. 40. — *δαιταλωμένους*] *δαιταλουμένους* Par. G. Vind. IV. Vit. III. quam lectionem ex quinque inferioris notae Codicibus in textum recepit Sebastianus. At vulgata minime est sollicitanda.

655. *πανδοκεύς*] Vid. Lobeck. ad Phrynich. p. 307. et Blomfield. Gloss. ad Aeschyl. Sept. 858. p. 158. edit. Lips. — *ἀγρεύσεται*] *ἀγρεύεται* Par. DK. Vind. II. IV. Vit. II. III. — 657. *φίλων*] *φίλον* Par. AL. et Ciz. *φίλον* Par. CH. Vind. II. *φίλων* Vit. I. II. et Rehd.

658. *δελφινόσημον*] Vid. *Plut.* de Terrestr. et Aquat. p. 985. b. et Tzetz. ad h. l. — 660. *κρεωφάγῳ*] Par. BL. Neap. III. Vat. 1307. Vit. I. Pal. 40. Rehd. et Editt. Ald. Basil. II. et reliquae praeter Basil. I. omnes. *κρεοφάγῳ* Par. A. *κρεασφάγῳ* Par. CDEFK. Vind. II. Vit. II.

*κόπρον τοῦ Αὐγείου — τοῦ ἄξαντος τὰς Γηρυόνου βοῦς* Par. C. *τοῦ σκάψαντος τὰς ἐπαύλεις τῶν βοῶν* Vind. II. 653. *Ὀρνιθογούνων, ἐπεὶ τὰ κάτω μέρη ὄρνιθος εἶχον, τῶν Σειρήνων — ἅρπυα, ὄρνις — τοὺς ὑψηλοὺς τόπους* Par. A. *ἀκρωτήρια, τραχεῖς τόπους — διὰ τὸ θελκτικόν* Par. C. *ὀρνιθογούνων· λέγει περὶ Σειρήνων — καὶ τραχεῖς τόπους — τῶν Σειρήνων, διὰ τὸ θελκτικόν* Vind. II.

654. *Πλανηθέντας, ἀποκρουσθέντας — ὠμοὺς ὑπὸ τοῦ Κύκλωπος ἐσθιομένους* Par. A. *ἢ διὰ τὴν ἰχθυοφαγίαν, ἢ διὰ τὰ τὰς Ἡλίου βοῦς, ἢ ὠμοὺς ἐσθιομένους παρὰ τοῦ Κύκλωπος* Par. B. *ὠμὰ σῖτα, ἤγουν βρώματα, τρεφομένους* Par. C. *πλανηθέντας — ὠμὰ ἐσθίοντες, τοὺς ἰχθύας ἐσθίοντας, ἢ ἐσθιομένους* Vind. II. 655. *θηρεύσει, ἀντὶ τοῦ, ἀγρεύσει* Par. A. *ὅλους — πάντας δεχόμενος, λάβῃ, ὑποδέξεται* Par. C. *ὁ πάνδοχος ὑποδέξεται* Vind. II. *κατὰ παρολκὴν ὅλους — λάβῃ* Pal. 40. 656. *Παντοίαις βλάβαις καὶ τιμωρίαις ἐσπαραγμένους* Par. A. *βλάβαις, τιμωρίαις ἑλκομένους* Vind. II. *κινδύνοις συντετριμμένους* Pal. 40.

657. *Ἕνα ἐκ τῶν φθαρέντων ἄγγελον καταλιπὼν ἐκ τῶν φίλων* Par. A. *τὸν Ὀδυσσέα — ὁ Ἅιδης* Vind. II.

658. *Τὸν Ὀδυσσέα· ἔκλεψεν γὰρ τὸ Παλλάδιον τῆς Ἀθηνᾶς ἅμα τοῦ Διομήδους· Φοινίκη δὲ ἡ Ἀθηνᾶ ἐν Κορίνθῳ* Par. A. *κλέπτην, ἤγουν τὸν κλέψαντα τὸ Παλλάδιον τῆς Ἀθηνᾶς* Par. C. *ἤγουν τὸν Ὀδυσσέα, τὸν ἐπὶ τῆς ἀσπίδος δελφῖνος σημεῖον ἔχοντα, τὸν κλέψαντα τὸ εἴδωλον τῆς Ἀθηνᾶς ἐν Κορίνθῳ τιμωμένης* Vind. II.

659. *Ὃς θεάσεται μὲν τὸν ὀφθαλμὸν* (leg. *μονοφθάλμου*) *Κύκλωπος τὸ οἴκημα* Par. A. *Κύκλωπος μονοφθάλμου ἄντρα* Par. C. *Ὀδυσσεύς — τοῦ μονοφθάλμου οἰκίας* Vind. II.

660. *Νῦν τοῦ Κύκλωπος — οἴνου — τῷ Κύκλωπι ἔκπωμα, κύλιξ, σκάφη, ποτήριον, δέπας* Par. A. *Ἅιδου —*

*χερσὶ προτείνων, τοὐπιδόρπιον ποτόν.*
*ἐπόψεται δὲ λείψανον τοξευμάτων*
*τοῦ Κηραμύντου Πευκέως Παλαίμονος.*
*οἳ πάντα θρανύξαντες εὐτόρνῳ σκάφει,*

Neap. I. II. et Edit. Basil. I. *κρεασφάγῳ* Par. H. *κρεωσφάγῳ* Par. J. et Ciz. *κρεασμένῳ* Par. G. Vind. IV. et Vit. III. Trias Codd. corruptissima. Vulgatae lectioni et meliores Codd. favent, et Grammaticorum non spernenda auctoritas. Vid. *Theodos. Alexandr.* Gram. edit. Goettling. p. 68, 12. *τὰ δὲ παρὰ τὸ κρέας συγκείμενα διὰ τοῦ ω μεγάλου γράφονται, οἷον πολυκρέως· ὁμοίως καὶ τὰ ἐν μέσῳ ἔχοντα τὸ ω, οἷον κρεωφάγος, κρεωπώλης, κρεωδαισία καὶ τὰ ὅμοια.* Etym. M. p. 230, 38. Cf. *Lobeck.* Parerg. ad Phrynich. p. 693. sqq. Alterius autem lectionis inventoribus fortasse ansam praebuit simillimae vocis *κέρας* in compositione *δισσολογία: κεροβόλος κερασβόλος, κερουφόρος κερασφόρος*, quod ultimum etiam apud Lycophronem legitur v. 1238. Comp. *γερασφόρος, σελασφόρος* et similia. — 661. *χερσί*] Cf. supr. ad v. 577.

662. *ἐπόψεται*] *ἐπ' ὄψεται* Vit. I. et Ciz. *δέ* omissum est in Par. H.

663. *Κηραμύντου*] *κηραβύντου* Par. H. *κηραμήνιον* Par. L. Vind. IV. Explicant Etymologus p. 511, 27. et Tzetzes, antiqua in Lycophronem *ὑπομνήματα* compilantes: *Κὴρ οὖν, ὁ θάνατος. καὶ Κηραμύντης, ὁ Ἡρακλῆς ὁ τὰς Κῆρας διώκων· ἀλεξίκακος γάρ. Παλαίμων δὲ αὐτὸς, διὰ τὸ παλαῖσαι αὐτὸν τῷ Διΐ. Πευκεὺς δὲ ἐν Ἀβδήροις τιμᾶται.* *Eustath.* ad Iliad. δ'. 11. p. 439, 39. edit. Rom. (Tom. I. p. 353, 4. edit. Lips.) *Τὸ δὲ, καὶ αὐτοῦ Κῆρας ἀμύνει, διασαφητικόν ἐστι τοῦ παρμέμβλωκεν. ἐνθυμητέον δὲ, ὅτι ἐκ τοῦ Κῆρας ἀμύνειν ὁ Κηραμύντης ὕστερον συντέθειται, ὁ αὐτὸς ὢν τῷ ἀλεξικάκῳ, ἵνα, ὡς ἐκ τοῦ ἀμύνειν ἁπλοῦ ὁ Ἀμύντας τὸ κύριον, οὕτως εἴη ἐκ τοῦ Κῆρας ἀμύνειν ὁ Κηραμύντης, ὃν Σοφοκλῆς ἀλεξίμορον εἴποι ἄν.* Et ad Odyss. δ'. 159. p. 1490, 11. edit. Rom. (Tom. I. p. 157, 10. edit. Lips.) ubi miraberis manifestissimum vitium in *κηραμύνθης* a nuperrimo editore Lipsiensi non sublatum esse. — *Πευκέως*] *Πευκέας* Par. A. — 664. *πάντα — σκάφει*] Canterus ad *θρανύξ.*: „Ulyssem videlicet cum sociis et navibus. Qui *σκάφη* mavult, is *εὐτόρνῳ* quoque in *εὔτορνα* mutet, atque ita vertat: *qui rotundas omnes conterentes naves.* Nam quod Scholiastes adfert de portu, nequaquam placet. Nostra quidem interpretatio Alexidis et Antiphanis comicorum testimoniis, quae in Athenaeo leguntur, nititur." Quae haec sint testimonia, tanto diligentius quaesivi, quanto impensius mirabar, etiam Iosephum Scaligerum, hominem acutissimum atque alienae auctoritatis impatientem, eandem sibi admittendam statuisse interpretationem. Vertit enim: *Qui rutro adunco runcinantes omnia.* At, totam illam ingentem apud Athenaeum fragmentorum silvam anxie perlustrans, plane nihil inveni. Et quid tandem hoc est, Laestrygones, populum quem scimus tam immanem fuisse, ut humana carne vesceretur, ligonibus

*κρεανόμῳ* Par. C. *τοῦ Κύκλωπος — ἀμπέλου, οἴνου — τὸν ἀσκόν, ποτήριον* Vind. II. 662. *Χάροιψ* (sic) *ταῖς χερσὶ προτείνων, τὸ ἐπὶ τῷ δείπνῳ, ἢ μετὰ τὸ δεῖπνον ποτόν* Par. A. *δοὺς μετὰ τὸ δεῖπνον πῶμα* Par. C. *ἐπὶ τοῦ γεύματος* Pal. 40.

662. *Τοὺς Λαιστρυγόνας λέγει, οὓς Ἡρακλῆς κατετόξευσεν· τοὺς ὑπολοίπους θεάσεται* Par. A. *ὁ Ὀδυσσεύς, ἤγουν τοὺς ὑπολοίπους τῶν Λαιστρυγόνων* Par. C. 663. *Τὰ τρία ἐπώνυμα Ἡρακλέους* Par. A. *Ἡρακλέους τοῦ τὰς Κῆρας διώκοντος — ἐν Ἀβδήροις ὁ Ἡρακλῆς Πευκεὺς τιμᾶται· Ἡρακλέους τοῦ παλαίσαντος τὸν Δία* Par. C. *ἐπίθετον Ἡρακλέος, τοῦ πικροῦ Ἡρακλέος· ἐν Ἀβδήροις γὰρ οὕτω τιμᾶται* Vind. II. *Ἀλεξικάκου, πικροῦ — τοῦ Διός* Pal. 40.

664. *Οἱ τὰ πάντα συντρίψαντες τῷ περιφερεῖ λιμένι τῶν Λαι-*

armatos ad mare descendisse, ut Ulyssem sociosque eius conciderent, immo etiam naves conquassarent? Ligonibus? Credo, quod ferissimi homines hac rustica supellectili, quam casu videntur invenisse, ad nihil aliud quam ad caedendos homines diffringendasque naves uti callerent. At quali tandem rutro? Rotundo; sive, si verbum premere mavis, bene tornato et ad circinum artificiose conformato. Quod quid et quale sit, plane nescio; neque credo quemquam de tali instrumento unquam vel fando audivisse. Sensit hoc, ut par erat, Iosephus Scaliger, aduncum nobis rutrum pro rotundo furtim subministrans; sensisse videtur etiam Canterus, cum speciosam sane coniecturam, *εὔτορνα σκάφη*, rotundas scilicet naves, lectoribus propinaret. Ubi tamen magnopere vereor, ne doctissimo homini notissimae illae *στρογγύλαι νῆες*, quas bellicis navibus, cum rostris carerent, aliquanto breviores et latiores fuisse e Thucydidis Scholiasta scimus, ita fraudi fuerint, ut etiam bene tornatas et orbiculatas naves cogitaret. Nam quod apud Homerum Odyss. ε΄. 249. legimus, *ὅσσον τίς τ' ἔδαφος νηὸς τορνώσεται ἀνὴρ φορτίδος εὐρείης*, id quivis intelligit de paullo capaciori navis alveo dictum esse, qui non in longitudinem porrigendus, sed in latitudinem ad aliquam certe rotunditatis speciem fabricandus esset, ita ut recte explicuerit Eustathius p. 1533, 8. edit. Rom. (T. I. p. 212. edit. Lips.) *τὸ δὲ τορνώσεται ἀντὶ τοῦ, περιγράψει, μᾶλλον μὲν οὖν κατασκευάσει τορνοειδὲς ἤτοι στρογγύλον, καὶ οὐ κατὰ τὰς ἰδίως λεγομένας μακρὰς ναῦς.* Adiectivum autem *εὔτορνον*, cum in tali compositione vis particulae *εὖ* minime negligenda sit, videtur id significare, quod est ita tornatum, ut ad perfectae et circinatae rotunditatis speciem proxime accedat. Vid. Eurip. Troad. 1204. (Seidl.) Iam intelligis, erudito Lector, illa rotunda Laestrygonum ferramenta pariter, atque haec orbiculata Ulyssis navigia, ita esse comparata, ut alterum plane absurdum sit, alterum autem ab absurdo non nisi pertenui sit discrimine separatum. Nunc vide mihi librorum lectiones. *σκάφει* Par. BDEFGHJK. Neap. I. II. III. Vind. II. IV. Vit. I. II. III. Pal. 40. Rehd. et Editt. Ald. Basil. II. Par. II. Commel. Steph. Meurs. utrq. Pott. utrq. et Reich. *σκάφει* (η supra) Par. CL. *σκάφη* Par. A. Ciz. et Editt. Basil. I. et Sebast. *σκάφη* Paraphr. Vatic. *εὐτόρνῳ* autem libri omnes exhibent praeter unum solum, sed summae auctoritatis librum, Par. A., in quo distincte scriptum est, *ἐς τόρνῳ*. Quod per se licet vitiosum sit, ad genuinam tamen lectionem fortasse propius accedit, quam id, in quo nemo adhuc vitii quiddam subodoratus est, adiectivum *εὔτορνος*. Sed de hoc statim videbimus. Nunc autem audiamus Isaacium Tzetzem, quem manifestum est utrumque, *σκάφη* et *σκάφει*, in antiquis exemplaribus invenisse: *οἵτινες Λαιστρυγόνες πάντα τὰ σκάφη τοῦ Ὀδυσσέως θραύξαντες καὶ συντρίψαντες ἐν τῷ εὐτόρνῳ καὶ στρογγύλῳ, λείπει λιμένι· ἢ κατὰ τοὺς μεταγραφεῖς, οἵτινες πάντα, τὰ πλοῖα δηλονότι τοῦ Ὀδυσσέως, θραύξαντες καὶ συντρίψαντες ἐν τῷ εὐτόρνῳ καὶ περιφερεῖ σκάφει καὶ λιμένι τῶν Λαιστρυγόνων· περιφερὴς γάρ ἐστι δίκην σκάφους.* Fluctuat, ut vides, inter utramque lectionem, ita quidem, ut aut, quod equidem verissimum esse existimo, *πάντα σκάφη* (cf. Odyss. κ΄. 132.) coniungat, aut *εὐτόρνῳ σκάφει* in orbiculari portu (Cf. Odyss. l. l. 87—90.) exponat, hiulcam utrobique orationem Scholiastarum more consarcinans. Ligonem autem non desideravit, licet ad mirabilia excogitanda alioquin promptissimus; sensisse enim videtur, hic ante omnia dictu opus esse, *quid* confregerint Laestrygones, et *ubi* hoc facinus commiserint; non autem quo id instrumento perfecerint. Inter asperrima enim mala hoc acerbissimum Ulyssi accidisse, ut tot simul naves cum sociis apud Lae-

*στρυγόνων οὕτως καλουμένῳ* Par. A. *τὰ πλοῖα τοῦ Ὀδυσσέως* Par. C. *οἱ Λαιστρυγόνες τὰ πλοῖα τοῦ Ὀδυσσέως συντρίψαντες, καὶ περιφερεῖ λιμένι* Vind. II.

σχοίνῳ κακὴν τρήσουσι κεστρέων ἄγρην.
ἄλλος δ' ἐπ' ἄλλῳ μόχθος ἄθλιος μενεῖ,
τοῦ πρόσθεν αἰεὶ πλεῖον ἐξωλέστερος.
ποία Χάρυβδις οὐχὶ δαίσεται νεκρῶν;

strygones perierint, quis est, qui non videat? Quod autem poeta non satis quidem accurate *πάντα σκάφη* dixerit, id noli impugnare; satis enim ex sequentibus liquet, ipsum Ulyssem cum una navicula ex tanta sociorum strage salvum evasisse. Praeterea sententiae meae hoc accedit, quod vox *σκάφος*, quae quodvis cavum, humana arte atque opera sive fodiendo sive fingendo effectum, denotare solet, non poterit nisi violenta quadam translatione h. l. de sinu Caietano dictum videri. Nunc autem superest adiectivum illud *εὐτόρνῳ*, nudum ac insolens, et nisi tales machinas admoveas, quales Tzetzae cerebellum excogitavit, plane intolerabile. Requirimus enim substantivum. De quo cum cogitarem, animum advertens ad illam varietatem Cod. Par. A. *ἐς τόρνῳ*, pergratum mihi fecit G. H. Schaeferus, vir summus, quod coniecturam suam, *ἐν τόρνῳ*, *in circulo sive circuitu portus*, amicissime mecum communicaret. Addidit etiam Eustathii verba ad Dionys. Perieg. v. 157. p. 115, 30. edit. Bernh. *σημείωσαι δὲ ὅτι τὸ ἐοικέναι τόξῳ τὸν Εὔξεινον περιφράζων οὕτω φησί, τόρνῳ εἰδόμενον περιηγέος ἅμματι τόξου. λέγει δὲ τόρνον μὲν τὸ τορνοειδές· ὥσπερ Λυκόφρων στρόβιλον τὸ στροβιλοειδές.* De quo Dionysii loco nos alia occasione accuratius dicemus. Et in hac egregia doctissimi viri emendatione, qua omnes loci difficultates expediuntur, ita mihi acquiescendum existimo, ut lectoribus dispiciendum relinquam, prudentiamne an verecundiam appellare velint, quod eam in annotatione potius quam in ipso textu exhibuerim.

665. *σχοίνῳ*] *σχοίνον* Vit. I. *σχοῖνον* Ciz. — *κεστρέων*] *κεστραίων* Par. A. Cf. *Eustath.* ad Odyss. κ'. 124. p. 1651, 13. edit. Rom. (Tom. II. p. 372, 6. edit. Lips.) — *ἄγρην*] *ἄγραν* Par. L. — 666. *ἄλλος δ' ἄλλῳ* Vind. II. vitiose. — *μόχθος ἄθλιος μενεῖ*] Iterum miratur Reichardus, quod nemini editorum adhuc in mentem venerit, lenissima mutatione corrigere *ἄθλιον μενεῖ*. Quod si quid commendationis habet, hoc certe in eo est, quod tali epitheto Ulysses fere semper soleat insigniri. At minime necessarium est; rectissime enim dicitur *μόχθος ἄθλιος*, calamitas aerumnis plena. Sic apud Euripidem legitur *Helen*. 483. (Dind.) *συμφορὰς ἀθλίας* coll. v. 1164. (Dind.) Orest. 352. (Pors.) *ἀθλίοις κακοῖς*, quod idem restituendum esse in Phoeniss. v. 1653. rectissime monuit Schaeferus ad Orest. l. l. *ἀθλίαν ὁδόν* *Ion*. 1241. (Herm.) At quis est, qui in re notissima exempla desideret? — 667. *αἰεί*] *ἀεί* Pal. 40. — *πλεῖον*] *πλεῖστον* Par. GHJ. Vind. IV. Vit. III. *πλείων* Par. L. et Vind. II. Vid. Aristoph. Eccles. 1131. *τίς γὰρ γένοιτ' ἂν μᾶλλον ὀλβιώτερος;* ibiq. Brunck. De comparativis ita consociatis cf. Bernhardy Doctr. syntax. gr. p. 434. De superlativis eadem ratione iunctis cf. Porson. ad Hecub. 618. p. 47. edit. Lips. — 668. *ποία*] Qualis, quam atrox

665. *Εἶδος φυτοῦ, ὃ φύεται ἐν τοῖς ἕλεσιν, ἡ σχοῖνος· κακὴν πειρονήσουσιν, ἢ τρυπήσουσιν· κεστραῖος εἶδος ἰχθύος· τὴν ἄγραν τῶν κεστραίων· ἔστιν δὲ ποιὸς ἰχθύς* Par. A. *ὥσπερ βρούλῳ — ἢ γόμφων ἢ κεφαλῶν* (sic) Par. C. *βρούλῳ τρυπήσουσι ἰχθύων δίκην γομφων* Vind. II. *γομφαρίων· γόμφοις εἰκάζει τοὺς Ὀδυσσέως φίλους, καὶ γὰρ οὗτοι ἐβρώθησαν παρὰ τῶν Λαιστρυγόνων, ὡς γόμφοι παρὰ τῶν ἁλιέων* Pal. 40.

666. *Ἐπ' ἄλλῳ δ' ἄλλος κόπος ἄθλιος μενεῖ* Par. A. *κόπος ὀλεθριώτερος τῆς παρελθούσης (συμφορᾶς) ἐστί* Vind. II.

667. *Τοῦ προτέρου ἀεὶ κατὰ πολὺ ὀλεθριώτερος ἢ κακώτερος* Par. A. *ὀλεθριώτερος, χαλεπώτερος* Vind. II.

668. *Ἡ ἐν ὕδασι γινομένη εἶλιξ —*

*ποία δ᾽ Ἐριννὺς, μιξοπάρθενος κύων;*
*τίς οὐκ ἀηδὼν στεῖρα Κενταυροκτόνος,*
*Αἰτωλὶς ἢ Κουρῆτις αἰόλῳ μέλει*
*πείσει ταχῆναι σάρκας ἀκμήνους βορᾶς;*
*ποίαν δὲ θηρόπλαστον οὐκ ἐσόψεται*
*δράκαιναν, ἐγκυκῶσαν ἀλφίτῳ θρόνα,*
*καὶ κῆρα κνωπόμορφον; οἱ δὲ δύσμοροι*

atque crudelis. — 669. *Ἐριννύς*] *Ἐρινύς* Par. A. et Vind. II. — *μιξοπάρθενος*] semivirgo. Sic appellatur Sphinx apud Euripidem *Phoen.* 1037. (Pors.) et Echidna apud Herodotum IV. 9. — 670. *τίς οὐκ ἀηδών*] *Eustath.* ad Iliad. α΄. 1. p. 9, 16. edit. Rom. (Tom. I. p. 9, 2. edit. Lips.) *καὶ ἡ ἀηδὼν δὲ ἐκ τοῦ ἀείδειν παρετυμολογεῖται τροπῇ, φασίν, Αἰολικῇ τῆς ει διφθόγγου εἰς η. διὸ καὶ Σειρῆνας, ὡς καλὸν ἀειδούσας, ἀηδόνας ὁ Λυκόφρων ἐκάλεσε.* Hunc versum memoriter laudans Photius in Biblioth. p. 151. b. 32. edit. Bekk. scripsit *ποία δ᾽ ἀηδών.* Quod Muellerus a Thryllitschio accipiens addidit: „non displiceret *ποία δ᾽*, si metrum admitteret.“ Quid de tali iudice iudicabis, erudite Lector?

671. *ἢ Κουρῆτις*] *ἡ Κουρῆτις* Vit. I. et Ciz. — 672. *ἀκμήνους βορᾶς*] Iliad. τ΄. 163. *ἄκμηνος σίτοιο.* De etymologia et accentu huius vocis vid. Etym. M. p. 49, 37. Cf. Schol. ad Iliad. l. l. et Eustath. ad Odyss. ψ΄. 191. p. 1944, 38. edit. Rom. (Tom. II. p. 303, 22. edit. Lips.) *ἀκμηνὸς δὲ νῦν ὀξύνεται· φασὶ γὰρ ὅτι Ἀρίσταρχος ἐνταῦθα μὲν ἐπὶ τοῦ θάμνος ἀκμηνός, ὅ ἐστιν ἀκμὴν ἔχων τοῦ νεάζειν, ὠξυτόνησεν· ἐν δὲ Ἰλιάδι ἐπὶ τοῦ δηλοῦντος νῆστιν ἐβαρυτόνησεν· ἕτεροι δὲ, φασί, καὶ τὰ δύο προπαροξυτόνησαν.* Lectionem *ἀκμήνου βορᾶς* habent Par. AE. et Vind. II. et agnoscit etiam Paraphr. Vaticana. — 673. *ἐσόψεται*] *ἐπόψεται* (ω supra scr.) Par. B. Rehd. et Basil. I. — 674. *ἀλφίτῳ*] *ἀλφίτης* (ω supra, οις infra scr.) (sic) Par. H. *ἀλφίτα* Vind. II. — 675. *κῆρα*] *κῆραν* Par. E. omisso *καί*.

*οὐκ εὐωχηθῇ, οὐ γεύσεται τεθνεώτων* Par. A. *ὕδατος ἀναρροίβδησις — φάγῃ* Par. C. *ὕδατος ἀναρροίβδησις· ἡ ἐν ὕδασι γινομένη ἔλασις — γεύσεται, ἤτοι τῶν Ἑλλήνων* Vind. II.

669. *Ποία δὲ δαίμων τιμωρητική, ἡ Σκύλλα· τὸ γὰρ ἥμισυ εἶχεν ἀνθρώπου, τὸ δὲ ἥμισυ κυνὸς καὶ θηρίων* Par. A. *τιμωρητική, ἡ Σκύλλα· τὸ γὰρ ἥμισυ εἶχεν ἀνθρώπου, καὶ τὰ λοιπὰ διαφόρων θηρίων* Par. B. *ἀπὸ κυνὸς καὶ ἀνθρώπου· φασὶ γὰρ ὅτι πρόσωπον ἀνθρώπου εἶχεν ἡ Σκύλλα* Vind. II.

670. *Τὰς Σειρῆνας λέγει, διὰ τὸ παρθένους αὐτὰς εἶναι — ἐπειδὴ ὑπ᾽ αὐτῶν ὤλοντο οἱ Κένταυροι* Par. A. *Ποία Σειρήν, διὰ τὸ θελκτικόν· αἱ Σειρῆνες θυγατέρες Ἀχελώου τοῦ ποταμοῦ καὶ Τερψιχόρης· παρθένος, ἡ κτείνασα τοὺς Κενταύρους* Par. C.

671. *Τὰς Μούσας λέγει, ἐξ ὧν ἐγένοντο — ποικίλῳ καὶ ὀλεθρίῳ — ᾠδῇ* Par. A. *ποικίλῳ τραγῳδήματι* Par. B. *Ἀχελώου θυγάτηρ, Ἀκαρνανίς — ἐν ποικίλῃ τραγῳδίᾳ* Vind. II.

672. *Πείσει τὰς σάρκας τακῆναι ἀγεύστους τροφῆς* Par. A. *δαμασθῆναι — τῆς ἰσχυρᾶς, ἀγεύστου τροφῆς* Vind. II. *ἀγεύστους τροφῆς* Pal. 40.

673. *Τὴν θηρία τοὺς ἀνθρώπους μεταποιήσασαν, Κίρκην λέγει, οὐ θεάσεται* Par. A. *τὴν Κίρκην λέγει μεταπλάττουσαν τοὺς ἀνθρώπους εἰς θῆρας* Vind. II. 674. *Τὴν δράκαιναν ἐνταράσσουσαν, μιγνύουσαν τῷ ἀλεύρῳ, ἢ τῇ βρώσει, τὰ ποικίλα φάρμακα* Par. A. et B. *διὰ τὸ ἄγριον, ἢ διὰ τὸ ὀξυδερκές* Par. C. *τὴν Κίρκην λέγει διὰ τὸ ἄγριον· μιγνύουσαν, ταράσσουσαν τῷ ἀλεύρῳ φάρμακα μαγικά* Vind. II.

675. *Καὶ μοῖραν, τὴν μεταμορφοῦσαν εἰς θηρία τοὺς ἀνθρώπους, Κίρκην· κ ν ῶ π ε ς γὰρ τὰ θηρία· οἱ δὲ δυστυχεῖς* Par. A. *θηριόμορφον*

στένοντες ἄτας ἐν συφοῖσι φορβάδες
γίγαρτα χιλῷ συμμεμιγμένα τρυγὸς
καὶ στέμφυλα βρύξουσιν. ἀλλά νιν βλάβης
μῶλυ σαώσει ῥίζα καὶ Κτάρος φανεὶς

677. *χιλῷ συμμεμιγμένα*] *χυλῷ* Vit. I. et Ciz. *μεμιγμένα* Par. GK. Vind. IV. Vit. III. in quo tamen alia manus addidit *συν*.

678. *στέμφυλα*] Vid. Hesych. h. v. ibiq. Interpp. Lobeck. ad Phrynich. p. 405. Photius Lex. h. v. *στέμφυλον τὸ ἔκδυμα τῆς σταφυλῆς ἢ τῶν ἐλαιῶν, οἷς ἀντὶ ὄψων ἐχρῶντο.* cuius glossae partem praebet etiam Lex. Seguer. p. 370, 8. — *βρύξουσιν*] Sic Par. AEGHJKL. Vat. 1307. Neap. I. II. III. Vind. II. IV. Vit. I. II. III. Ciz. Pal. 40. et Edit. Sebast. *βρώξουσιν* (υ superscr.) Par. C. *βρώξουσιν* Par. BDF. Rehdig. et Editt. Ald. Basil. I. II. et reliquae deinceps praeter novissimam omnes. Nostra lectio nemini non huic loco aptissima videbitur, qui sciat, verbum *βρύκειν* proprie de foedo dentium stridore dici, quo voracissimae bestiae pastum manducare solent; unde translatum est ad hominum ingluviem. Hesych. h. v. *βρύκειν, λάβρως ἐσθίειν· ἀπὸ τοῦ τρίζειν τοὺς ὀδόντας· οἱ δὲ μασσᾶσθαι.* *Eustath.* ad Odyss. τ΄. 163. p. 1859, 38. edit. Rom. (Tom. II. p. 195, 38. edit. Lips.) *ἐν οἷς ὅρα τὸ βρύκειν, ἤγουν τραχέως μετὰ ποιοῦ τινος ἤχου ἐσθίων, οὗ χρῆσις ἐν τοῖς τοῦ κωμικοῦ Ὄρνισιν* [v. 26. coll. Lysistr. 301. 367. Pac. 1315. (Dind.)] *ὅθεν καὶ παραβρύκων λίχνου τινὸς ἐπίθετον.* Cf. Etym. M. p. 216, 14—17. *Phrynich.* Appar. Sophist. p. 30, 28. et VV. DD. ad Moerin p. 99 sqq. et ad Thom. Mag. p. 172. edit. Bern. — 679. *μῶλυ*] *μῶλος* Par. A. Ultima huius vocis corripitur apud Homerum Odyss. κ΄. 305. quod non impedivit Grammaticos, quominus hoc nomen a *μωλύειν* sive *μωλύνειν*, media syllaba producta, deducerent. Vid. Etym. M. p. 592, 42. Apollon. Lex. Hom. v. *μῶλυ*. *Photius* Lex. *μῶλυ· ἀντιπάθιον, ἢ βοτάνη ἀλεξιφάρμακος, ἤτοι πήγανον ἄγριον.* Eandem glossam habet Lex. Seguer. p. 305, 21. aliter tamen scriptam *ἀντιπαθεῖ ἡ βοτάνη*, quod fortasse non pauci mirati sunt, quod non mutaverim. Equidem autem pervellem utique, me in edendo illo antiquissimo Codice nihil omnino mutandum censuisse, ita ut manus accuratissimi scribae ubique vel in manifestissimis vitiis, in orthographia, inque accentibus ponendis, diligentissime servata esset. Quod nunc magnopere doleo, quod non fecerim. Verebar enim, ne in reprehensionem eorum incurrerem, qui, si quid tale relictum vident, quod vitiosum esse vel pueri statim intelligunt, id negligentiae aut fortasse etiam imperitiae editoris malint, quam certo cuidam consilio tribuere; non illi reputantes, se suo fortasse graviorem, quam editioris iudicio

Par. B. *οἱ κακοθάνατοι* Par. C. *ἀπὸ κοινοῦ τὸ ἐγκυκῶσαν· μοῖραν θηριόμορφον* Vind. II. 676. *Στενάζοντες τὰς βλάβας, ἐν ταῖς τῶν χοίρων κοίταις* Par. A. *χοιρομάνδραις* Par. C. *βλάβας — ἐν ταῖς τῶν χοίρων κοίταις — χοῖροι, λείποι τὸ ὡς* Vind. II. *μανδρίοις* Pal. 40. 677. *Τὰ τῶν σταφυλῶν καὶ ῥοιῶν ἔνδοθεν ὄντα σπέρματα, ὅθεν καὶ ἀγίγαρτον τὸ μὴ ἔχον ἔνδοθεν τὸ σπέρμα, ἀλλὰ διόλου λεῖον· — τῇ ἐκ σίτου τροφῇ συμμεμιγμένα, τῆς ὑποστάθμης τοῦ οἴνου* Par. A. *πυρῆνας — τροφῇ* Par. C. *τῆς σταφυλῆς τὰ ἀποπιέσματα τροφῇ — νέου οἴνου τὴν τρυγίαν* Vind. II. *ἀλεύρῳ — σταφυλῆς* Pal. 40. 678. *Καὶ τὰ τῶν σταφυλῶν λέπυρα, ἅπερ φασὶ τζίπουρα, φάγονται· ἀλλ' αὐτὸν τῆς βλάβης* Par. A. *δέρματα σταφυλῶν φάγωσι* Par. C. *τὰ ἔξω τῶν σταφυλῶν δέρματα φάγωσιν — τὸν Ὀδυσσέα, ἤτοι τοῦ μὴ γενέσθαι χοῖρον* Vind. II. *τζίπουρα* Pal. 40.

679. *Βοτάνη τις ἡ μῶλυς,* (sic) *ἧστινος ἡ ῥίζα σώσει· καὶ ὁ Ἑρμῆς, ἐπιθετικῶς· σημαίνει δὲ καὶ θερμῶν — φανείς* Par. A. *σώσει — ἑρμηνευτικῶς, ἤγουν ὅπερ μῶλυ ῥίζα ἐστὶ*

*Νωνακριάτης, Τρικέφαλος, Φαιδρὸς θεός.*
*ἥξει δ' ἐρεμνὸν εἰς ἁλίπεδον φθιτῶν,*
*καὶ νεκρόμαντιν πέμπελον διζήσεται*
*ἀνδρῶν γυναικῶν εἰδότα ξυνουσίας.*
*ψυχαῖσι θερμὸν αἷμα προσράνας βόθρῳ,*
*καὶ φασγάνου πρόβλημα, νερτέροις φόβον,*

iniuriam esse facturos. — Praeterea de herba *μῶλυ* haec annotavit Onofrio Gargiulli p. 43. „Il Bianchini, Stor. Univ. Dec. III. c. 30. p. 161., crede che sia la mandragola. Il poeta nomina la radice dell' erba moly *ῥίζαν;* a noi piace di detta pianta nominare soltanto il fiore, dietro la scorta di Ovidio, che Metam. XIV. (v. 291 sq.) così canta: pacifer huic dederat *florem* Cyllenius *album* || Moly vocant Superi, nigra radice tenetur." — 680. Hic versus in Cod. Par. J. cum sequente ita in unum coaluit, ut post nomen *Νωνακριάτης* statim verba *εἰς ἁλίπεδον φθιτῶν* sequantur, omissis reliquis omnibus. — 681. *ἐρεμνόν*] Par. AEL. Vat. 1307. Vit. I. Ciz. et Editt. Ald. Basil. II. Par. II. Commel. Meurs. utrq. Reich. et Sebast. *ἐρυμνόν* Par. BCDFJ. Neap. I. II. III. Vind. II. IV. Vit. II. III. Pal. 40. Rehd. quorum plurimi tamen glossam interlinearem *σκοτεινὸν* exhibent, et Editt. Basil. I. Steph. et Pott. utrq. *ἐρυμνόν* Par. GH. — *ἁλίπεδον*] *ἀλήπεδον* Par. A. *ἀλιπέδῳ* Vind. II. vitiose. De hac voce vid. Lex. Seguer. p. 67, 5. et Eustath. ad Odyss. *μ'*. 105. p. 1716, 38. edit. Rom. (Tom. II. p. 16, 44. edit. Lips.) 682. *πέμπελον*] *πέμπλον* Vind. IV. *πέπλον* Par. G. et Vit. III. — *διζήσεται*] *γηρήσεται* (superscr. *διζη*) Par. K. — 683. *ξυνουσίας*] Sic libri mei omnes et Editt. Basil. I. Steph. Pott. utrq. Reich. et Sebast. *συνουσίας* autem contra metrum ex Aldina transiit in Basil. II. Par. II. Commel. et Meurs. utrq. — 684. *ψυχαῖσι*] *ψυχαῖς* Par. C. et Vind. IV. — *προσράνας*] *πρὸς ῥάνας* Par. EL. et Vind. II. *συὸς ῥάνας λάκκῳ* (sic) Par. A. 685. *φασγάνου*] *φάσγανον* Par. G. *φάσγανον* Vit. III. — *πρόβλημα*] Vid. Blomf. Glossar. ad Aesch. Sept. 536. p. 140. edit. Lips. — *νερτέροις*] *νερτέρων* Par. K.

*τοῦ πηγάνου* Par. C. *μῶλύ ἐστι βοτάνη ἀντιπαθοῦσα μαγείας* Vind. II. *ὃ ὑπάρχει σχῆμα ἑφερμηνευτικόν* Pal. 40. 680. *Ἀπὸ τόπου ὁ Ἑρμῆς — ὁ Ἑρμῆς, διὰ τὸ φυσικὸν καὶ λογικὸν καὶ ἠθικόν· ἢ οὐράνιος καὶ ἐπίγειος καὶ καταχθόνιος — λαμπρὸς θεός* Par. A. *Ἑρμῆς Ἀρκαδικός· πόλις Ἀρκαδίας ἡ Νωνακρία, ἐν ᾗ τιμᾶται ὁ Ἑρμῆς· οὐράνιος, θαλάσσιος καὶ ἐπίγειος — λευκός* Par. C. *ὁ ἀπὸ τῆς Νωνακρίας πόλεως Ἀρκαδίας ὁ Ἑρμῆς — λευκός· καὶ γὰρ παρὰ Βοιωτοῖς Ἑρμῆς Λευκὸς τιμᾶται* Vind. II. 681. *Παραγενήσεται εἰς τὸ σκοτεινόν· ἔστι δὲ ὅτε καὶ ἰσχυρὸν δηλοῖ· εἰς ὁμαλὸν καὶ λεῖον πεδίον φθαρτῶν* Par. A. *σκοτεινόν — ἀπὸ Ὠκεανοῦ γὰρ καταῤῥεῖται* (leg. *περιῤῥεῖται*) Par. C. *σκοτεινόν — τὸ παραθαλάσσιον πεδίον, εἰς ὁμαλὸν καὶ λεῖον πεδίον* Vind. II.

682. *Καὶ τὸν Τειρεσίαν γέροντα ζητήσει* Par. A. *τὸν φρονοῦντα ἐν τῷ Ἅιδῃ — ψηλαφήσει* Par. C. *τὸν Τειρεσίαν ὑπέργηρον ὄντα, τὸν γέροντα ψηλαφήσεται, ζητήσει* Vind. II.

683. *Τῶν ἀῤῥένων καὶ τῶν θηλειῶν ἐπιστάμενον τὰς ἀφροδισίας, μίξεις* Par. A. *ὡς καὶ αὐτὸν Τειρεσίαν γεγονότα καὶ ἄνδρα καὶ γυναῖκα* Par. C. 684. *Ταῖς ψυχαῖς ἀτμίζον αἷμα προχύσας τῷ λάκκῳ* Par. A. *ἐν ταῖς — ἀτμίζον — χέας, ἤτοι ὁ Ὀδυσσεύς* Vind. II.

685. *Καὶ τοῦ ξίφους τὴν προβολὴν — τοῖς ὑπὸ γῆν φόβον* Par. A. *τὴν προβολὴν νεκροῖς εἰς* — Vind. II.

πήλας, ἀκούσει κεῖθι πεμφίδων ὄπα
λεπτὴν, ἀμαυρᾶς μάστακος προσφθέγμασιν.
ὅθεν Γιγάντων νῆσος ἡ μετάφρενον
θλάσασα, καὶ Τυφῶνος ἀγρίου δέμας,
φλογμῷ ζέουσα δέξεται μονόστολον.
ἐν ῇ πιθήκων πάλμυς ἀφθίτων γένος
δύςμορφον εἰς κημασμὸν ᾤκισεν τόσων,

686. *πεμφίδων*] *πεμφίγων* Par. A. Lectio fortasse non spernenda ob v. 1106. — 687. *ἀμαυρᾶς*] Par. CDEFGHJKL. Neap. I. II. III. Vind. II. IV. Vit. I. II. III. Ciz. Pal. 40. et Editt. Basil. I. Steph. Pott. utrq. et Sebast. *ἀμαυράν* Par. A. *ἀμύδρου* Par. B. Rehdig. et Editt. Ald. Basil. II. Paris. II. Commel. Meurs. utrq. et Reich. Unde haec lectio in textum venerit, statim intelliges, si glossam antiquam interlinearem respexeris, quam Tzetzes, ut permulta talia, Commentario suo inseruit: *ἀμαυρᾶς μάστ. προςφθ. ἀμυδροῦ καὶ ἀσθενοῦς στόματος λαλιαῖς.* — *προςφθέγμασιν*] $\bar{\nu}$ in fine omittunt Editt. Basil. I. et Steph

688. *ὅθεν*] *ὅθεν. γρ. ὅθι* Vind. II. *ὅθι*, superaddito *ὅθεν*, Par. H.

689. *θλάσασα*] *θάλασσα* Par. ADGK. Vind. II. (add. *ἢ θλάσσασα*) Vind. IV. Vit. II. III. Idem vitium in Cod. Par. B. sustulit manus recentior. — 690. *μονόστολον*] *cum uno navigio venientem.* Alias pro *μόνος* et *μονωθεὶς* a poetis usurpatur; vid. *Eurip. Phoen.* 754. (Pors.) Alcest. 418. ubi Schol. *μονόστολος ἀπὸ μεταφορᾶς τῶν μονοστελλομένων πλοίων. μονόστολος οὖν ἀντὶ τοῦ ἔρημος.*

691. *πάλμυς*] *πάλμος* Par. A. *πάλμης* Par. G. Vind. IV. Vit. III. *Hesychius* et *Favorinus*: *παλμυός· βασιλεύς. πατήρ. οἱ δέ, πάλμυς.*

692. *ᾤκισεν*] Sic addito *ν* finali Par. BCDEFGHKL. Vind. II. IV. Vit. II. et Editt. Ald. Basil. II. Par. II. Commel. Meurs. utrq. et Reich. *ᾤκησεν* Par. A. *ᾤκισε* Vit. I. III. Ciz. Pal. 40. Rehd. et Editt. Basil. I. et Sebast. *ᾤκησε* Par. J. Videmus etiam h. l. maiorem Codd. numerum eorum sententiae patrocinari, qui ubique in talibus, vel invitis libris, $\bar{\nu}$ finale censent restituendum esse, ita ut plane irrita sit Is. Tzetzae ad hunc locum annotatio: *ᾤκισε· τὸ σε μακρόν, ὡς κοινὴ συλλαβή.* Licet enim permultum a severitate priscae tragoediae desciverit Alexandrinus poeta, iniuriam tamen ei faceres, si etiam tam elumbes atque hiantes versus ab eo profectos arbitrarere. Adiiciam nunc conspectum locorum omnium, in quibus hoc $\bar{\nu}$ ex Codd. auctoritate apud Lycophronem restituimus: v. 48. *λοφνίσιν* ex uno Cod. Par. K. v. 123.

686. *Κινήσας, ἐκεῖσε ἀκούσει τῶν ψυχῶν τὴν φωνὴν* Par. A. *κινήσας, ἀπὸ τοῦ Ἅιδου ψυχῶν φωνήν* Vind. II. *σείσας, κινήσας — ψυχῶν, παρὰ τὸ πέμπεσθαι* Pal. 40. 687. *Λεπτὴν ἰσχνοῦ στόματος ἢ λάρυγγος· ἢ ἀμαυρᾶς καὶ ἰσχνῆς καὶ λεπτῆς — προῤῥήσεσιν* Par. A. *ἀσθενοῦς, ἰσχνοῦ στόματος ἢ λάρυγγος λαλιαῖς* Vind. II. *χείλους* Pal. 40.

688. *Τὰς Πιθηκούσας νήσους λέγει, τὰς περὶ Ἰταλίαν — ἥτις τὸ μετάφρενον* Par. A. *ἡ Σικελία* Par. C. *γρ. ὅθι — νῦν πιθήκων — τὴν ῥάχιν* Vind. II. 689. *Θάλασσα* (leg. *Θλάσασα*) *ἀγρίου ἀνέμου δέμας, μεγάλου σῶμα* Par. A. *συντρίψασα* Par. C. 690. *Τῇ φλογὶ ζέουσα, δέξεται ἓν πλοῖον ἔχοντα* Par. A. *βρασμῷ* Par. B. *τῷ τῆς Κατάνης πυρὶ βράζουσα* Par. C. *φλόγας πέμπουσα Αἴτνῃ· αὕτη ἡ νῆσος ὑποδέξεται τὸν Ὀδυσσέα ἓν πλοῖον ἔχοντα* Vind. II. 691. *Ἐν ῇ τῶν πιθήκων τὸ γένος πατὴρ ἢ βασιλεὺς τῶν ἀφθάρτων* Par. A. *μιμῶν, σατύρων, ἀκροιζιανῶν* Par. C. *μιμῶν ὁ βασιλεύς, ὁ Ζεύς, τῶν θεῶν* Vind. II. *ὁ Ζεύς — παρ' Ἴωσι ὁ βασιλεύς* Pal. 40.

692. *Δύςμορφον, δυςειδῆ, πρὸς γέλωτα καὶ ὕβριν ᾤκισεν τοσοῦτον* Par. A. *ὀνειδισμόν, γέλωτα* Par. B.

*οἳ μῶλον ὠρόθυναν ἐκγόνοις Κρόνου.*
*Βαίου δ' ἀμείψας τοῦ κυβερνήτου τάφον,*
*καὶ Κιμμέρων ἔπαυλα κἀχερουσίαν*
*ῥόχθοισι κυμαίνουσαν οἴδματος χύσιν,*
*Ὄσσαν τε καὶ λέοντος ἀτραποὺς βοῶν*

*νέρθεν* ex quinque Codd. v. 154. *ἐνύμβευσεν* e duobus Codd. v. 224. *ὤφελεν* ex octo Codd. v. 228. *ἐπέκλυσεν* ex uno Cod. Par. K. v. 471. *ὤτρυνεν* ex septem Codd. v. 477. *ἔκλαυσεν* e duobus Codd. v. 692. *ᾤκισεν* e tredecim Codd. v. 787. *ἐτέκνωσεν* e tribus Codd. v. 887. *ὤπασεν* ex undecim Codd. v. 1002. *πέρσουσιν* ex octo Codd. v. 1023. *ἔστειλεν* e tribus Codd. v. 1088. *ἕξουσιν* e decem Codd. v. 1200. *ἐπίανεν* e duodecim Codd. v. 1329. *ὤρινεν* ex octo Codd. v. 1348. *ἤρειψεν* ex octo Codd. v. 1457. *ἐκάλχαινεν* ex quinque Codd. In quatuor autem locis plane nullum erat librorum auxilium: v. 63. *ἄρδισι.* v. 629. *ἴχνεσι.* v. 1290. *θρηνοῦσι.* v. 1403. *αἱμοπότησι.* Ubi quemvis vel non monitum advertet ille constans in vocali alioquin ancipiti librariorum error. — *τόσων*] in irrisionem tantorum tamque vastae ac prodigiosae magnitudinis hostium. Lectionem *τόσων* praebent Par. EFGJKL. Vind. II. IV. Vit. III. Ciz. *τόσσων*[ο] Par. D. *τόσων* Vit. II. *τόσον*[ω] Par. C. et Vit. I. *τόσον* Par. ABH. Pal. 40. Rehd. et Editt. omnes. — 693. *ἐκγόνοις*] Par. ACDEFGJKL. Vind. II. IV. Vit. I. II. III. Ciz. Pal. 40. Rehd. et Editt. praeter Sebast. omnes. *ἐκγόνων*[οις] Par. H. *ἐγγόνοις* Par. B. et Edit. Sebast. — 694. *Βαίου*] Codd. mei omnes et Editt. excepta Sebast. *Βαιοῦ.* Rectissime autem a Muellero allatum vidimus locum *Eustathii* ad Odyss. ω'. 465. p. 1967, 24. edit. Rom. (Tom. II. p. 330, 34. edit. Lips.) ubi *κατ' ἀλφάβητον* agit de vocabulis, quae propria facta, plerumque *πρὸς διαστολὴν τῶν προσηγορικῶν*, accentum immutant: *καὶ Ἄστηρ μὲν πόλις, ἀστὴρ δὲ ὁ κατ' οὐρανόν· καὶ Ἄφξιη μὲν νῆσος, ἀφειὴ δὲ ὀξυτόνως ἡ ἀπόλυτος· καὶ Βαῖος μὲν κύριον, οὗ χρῆσις προφέρεται ἀπὸ τοῦ τὴν Ἀλεξάνδραν γράψαντος, ἤγουν τοῦ Λυκόφρονος· βαιὸς δὲ ὁ μικρός.* Cf. *Strab.* V. p. 245. (Vol. II. p. 194. ed. Tzsch.) *Steph. Byz.* v. *Βαία.* et *Favorin.* Lex. v. *Βαῖος.* — 695. *ἔπαυλα*] *ἔπαθλα* Par. J.

696. *ῥόχθοισι*] *ῥόχθαισι*[οι] Par. B. — *οἴδματος*] *ὕδατος* Pal. 40. In Par. F. hic versus, in textu omissus, in margine inferiori ab alia manu adscriptus legitur. — 697. *Ὄσσαν*] *ὅσαν* Vind. IV. et Vit. III.

*κακόμορφον — γέλωτα — γιγάντων* Par. C. *δυσειδῆ — ταραχήν, αἰσχύνην, γέλωτα τοσούτων γιγάντων* Vind. II. *ὕβριν τῶν γιγάντων, πολύ* Pal. 40. 693. *Οἵτινες πόλεμον διήγειραν τέκνοις Κρόνου* Par. A. *οἱ γίγαντες πόλεμον ἤγειραν, ἐκίνησαν* Par. C. *πόλεμον διήγειραν τοῖς παισί, Διῒ καὶ τοῖς ἑτέροις* Vind. II. 694. *Τοῦ Βαίου· ἔστι δὲ ὄνομα κύριον κυβερνήτου Ὀδυσσέως· τοῦ κυβερνήτου μνημεῖον* Par. A. *τοῦ κυβερνήτου αὐτοῦ — παραπλεύσας* Par. C. *ὄνομα κύριον — διελθὼν ὁ Ὀδυσσεύς* Vind. II. *διελθών· ἰδίου κυβερνήτου Βαίου — τὸν ἐν Σικελίᾳ· ἐκεῖ γὰρ τοῦτον ἀποθανόντα ἔθαψεν* Pal. 40. 695. *Ἔθνος δυτικόν — τὰς ἐπαύλεις, καὶ τὸν Ἅιδου ποταμὸν Ἀχέροντα* Par. A. et Vind. II. *καταψύχρων — ἤτοι ἐπαύλεις, τόπους — ἤγουν λυπηράν* Par. C. *σκοτεινῶν — Ἀχέρων ποταμὸς περὶ Λακεδαιμονίαν* Pal. 40.

696. *Ῥεύμασι κυματίζουσαν τὴν χύσιν τοῦ κύματος* Par. A. *ἤχοις ταραχιζομένην — κύματος* Par. C.

697. *Ὄρος Ἰταλίας καὶ Μακεδονίας· λέοντος δέ, τοῦ Ἡρακλέους, τὰς διαβάσεις καὶ ὁδοὺς τῶν βοῶν* Par. A.

χωστὰς, Ὀβριμοῦς τ' ἄλσος οὐδαίας Κόρης,
Πυριφλεγές τε ῥεῖθρον, ἔνθα δύσβατος
τείνει πρὸς αἴθραν κρᾶτα Πολυδέγμων λόφος.
ἐξ οὗ τὰ πάντα χύτλα καὶ πᾶσαι μυχῶν
πηγαὶ κατ' Αὐσονῖτιν ἕλκονται χθόνα.

698. *Ὀβριμοῦς*] *Ὀμβριμοῦς* Par. AJ. et Vind. II. Hoc *μεταγραφικὸν πταῖσμα* commemorat etiam Tzetzes ad h. l. *τινὲς δὲ γράφουσιν Ὀμβριμοῦς, παρὰ τὸ ὄμβριμον καὶ βαρύ.* Videtur idem nomen esse quod *Βριμώ.* vid. infra ad v. 1176. Similiter apud Etymologum p. 346, 41. *Ὀβριάρεως καὶ Βριάρεως, Ὀϊλεὺς καὶ Ἰλεύς.* — *ἄλσος*] Vid. Odyss. *κ'*. 509. *ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης.* Cf. *Strab.* V. p. 244. (Vol. II. p. 190 sq. edit. Tzsch.) — 699. *Πυριφλεγές τε ῥεῖθρον*] *Eustath.* ad Odyss. *κ'*. 514. p. 1667, 45. edit. Rom. (Tom. I. p. 392, 25. edit. Lips.) *Λυκόφρων δὲ τὸν Πυριφλεγέθοντα ὥσπερ καὶ τὸν Κωκυτὸν Ἰταλικοὺς ἱστορεῖ ποταμούς, ἐκκύπτοντας τοῦ Πολυδέγμονος, ὄρους τούτου ὑψηλοτάτου ἐν τοῖς ἐκεῖ.* — *δύσβατος*] *δύσβατον* Par. L. Vit. I. et Ciz. — 700. *αἴθραν*] *αἶθραν* Par. AG. Vind. II. Vit. II. III. — *κρᾶτα*] Sic Par. A. et reliqui omnes praeter Par. CG. Vit. I. III. et Ciz. qui *κράτα* exhibent. Vid. Etym. M. p. 535, 3 sqq. — *Πολυδέγμων*] Canterus: „collem *capacem* vocat Apennnium, (inepte Scholiastes *τὸ πολυδέγμων* facit nomen proprium); e quo Italiae fluvii oriuntur. *Lucanus* (II. 403 sq.) Fontibus hic vastis immensos concipit amnes fluminaque in gemini spargit divortia ponti. *Polyb.* III. (c. 110, 9.) *ὃς μόνος (ὁ Αὔφιδος) διαῤῥεῖ τὸν Ἀπέννινον· τοῦτο δ' ἐστὶν ὄρος συνεχές, ὃ διείργει πάσας τὰς κατὰ τὴν Ἰταλίαν ῥύσεις, τὰς μὲν εἰς τὸ Τυῤῥηνικὸν πέλαγος, τὰς δὲ εἰς τὸν Ἀδρίαν.* *Cic.* (de Orat. III. 19.) Ut ex Apennino fluminum, sic ex communi sapientium iugo sunt doctrinarum facta divortia.“ In quibus hoc tantummodo probo, quod Apenninum intellexerit Canterus; iis enim, qui regiones circa lacum Avernum et Puteolos pervagantur, e longinquo trans Baianum sinum apparet ingens ille tractus Apennini montis, multis et arduis verticibus intumescens. *Πολυδέγμων* autem, si totius loci colorem respexeris, non dubitabis pro nomine substantivo habere. Finxit enim poeta, quo melius cum horrendis fluviorum nominibus convenirent, etiam nova montium nomina, Orcini quid, ut ita dicam, sonantia; ita ut vastissimum montem, Apenninum, eodem, quo Orcus ipse insigniri solet, nomine *Πολυδέγμονα* appellaret; statimque Lethaeonem rupem, alludens ad illa Lethaea stagna, subiungeret. — *λόφος*] *φλόγος* (sic) Par. G. (in marg. *γρ. λόφος*) *τάφος* Par. K. — 701. *μυχῶν*] *μυλῶν* Par. E. *μυχῶν πᾶσαι* Vit. I. et Ciz. — 702. *Αὐσονῖτιν*] *Αὐσονίτιν* Par. C. Vit. I. II. *Αὐσονίτην* Par. G. Vind. II. IV. Vit. III. et Ciz. Reliqui libri et Editt. omnes *Αὐσονῖτιν.* — *ἕλκονται*] *defluunt*, *delabuntur.* Cf. Dionys. Perieg. 166. 988.

698. *Κεχωσμένας, καὶ τῆς Περσεφόνης καὶ τὸ ἕλος τῆς καταχθονίου κόρης* Par. A. *ἐσκαμμένας* — *ἱερόν* Par. C. *κεχωσμένας, τῆς Περσεφόνης, τῆς καταχθονίας θεᾶς, ἐν Ἅιδου βασιλευούσης* Vind. II.

699. *Καὶ τὸν Πυριφλεγέθοντα ποταμόν, ὅπου ὁ δύσβατος* Par. A. *ἤγουν τὸ θερμόν* Par. C.

700. *Ἐκτείνει πρὸς τὸν αἰθέρα τὴν κεφαλήν, τροπικῶς· ὄρους τῆς Ἰταλίας τὸ ἀνάστημα* Par. A. *τὸν αἰθέρα, ἀπὸ τῆς εὐθείας ὁ αἴθρας,* (sic) *τοῦ αἴθρα, τῷ αἴθρα, τὸν αἴθραν* Par. C. *ἐξοχήν* Pal. 40.

701. *Ἐξ οὗ πάντα τὰ ῥεῖθρα καὶ νάματα, καὶ πᾶσαι τῶν ἐνδοτάτων* Par. A. *Πολυδέγμονος* — *ῥεῖθρα* Par. C. *ὕδατα* — *ἀπὸ τῶν τοῦ ὄρους* Vind. II. *λουτρά* Pal. 40.

702. *Αἱ πηγαὶ κατὰ τὴν Ἰταλικὴν σύρονται γῆν* Par. A. *κατὰ τὴν Ἰταλικήν, ἤγουν ῥέονται* Vind. II.

λιπὼν δὲ Ληθαιῶνος ὑψηλὸν κλέτας,
λίμνην τ' Ἄορνον ἀμφιτορνωτὴν βρόχῳ,
καὶ χεῦμα Κωκυτοῖο λαβρωθὲν σκότῳ,
Στυγὸς κελαινῆς νασμόν, ἔνθα Τερμιεὺς
ὁρκωμότους ἔτευξεν ἀφθίτοις ἕδρας,
λοιβάς τ' ἀφύσσων χρυσέαις πέλλαις γάνος,

ἐγχάραγμα Par. C. τύπος Vind. II. οὐλή Pal. 40. 781. Λεπταῖς ῥάβδοις τρυπηθεῖσα — ἅστινας ὁ Θόας Par. A. ῥάβδοις λεπταῖς κοιλανθεῖσα, τρυπηθεῖσα Par. B. κυρίως τρυπηθεῖσα, νῦν δὲ ἐγκολαφθεῖσα Par. C. ῥάβδοις, κλάδοις κοιλανθεῖσα — ἅστινας ὁ Ὀδυσσεὺς τὴν Τροίαν λυμαίνων Vind. II. ῥάβδοις ἐνσημανθεῖσα — τῶν Τρώων Pal. 40. 782. Ἀντὶ τοῦ τύπτειν — ἄνευ στεναγμοῦ ἐπαινέσει Par. A. ἐπιτύπτειν, ἐπιξέειν Par. B. ὑπομείνῃ Par. C. ἐπιξέειν, ἐγχαράσσειν, τυποῦν — ἄνευ στεναγμοῦ ὑπομενεῖ Neap. II. et Vind. II. ἐφ' ἑαυτῷ ἐγχαράττειν θελήσει Pal. 40. μαστίζειν Neap. III.

783. Ἑκούσιον μώλωπα ἀποπυγίζων τῷ σώματι Par. A. κυρίως ἡ ὕφαιμος πληγή — προσάπτων Par. B. ὕφαιμον πληγὴν ἐντυποῦν τῷ σώματι Vind. II. ἐντυπῶν, φέρων Pal. 40. 784. Ἵνα ἐνεδρεύσῃ καὶ ἀγρεύσῃ ἐχθροῖς (sic) κατασκόποις Par. A. σκοπεύσεσι Par. B. ἀπατήσῃ· π α λ ε ύ τ ρ ι α ι γὰρ λέγονται αἱ πλάναι, καί, οἷον εἰπεῖν, ἀνδραποδίστριαι (sic) περιστεραί· δυσμενεῖς δὲ τοὺς Τρῶας λέγει· κατασκόποις δὲ ἀντὶ κατασκοπεύμασι Par. C. σκοπευτικαῖς Pal. 40. 785. Βλάβαις καὶ δάκρυσι ἀπατήσας τὸν πρόμον· ὅθεν φ ή λ η κ ε ς τὰ σῦκα τῇ δείξει πέπειρα, ὄντα ὠμά Par. A. πληγαῖς Par. C. βλάβαις· ταῖς πληγαῖς, ὀδυρμοῖς ἀπατήσας τὸν Πρίαμον, τὸν πρόμαχον Vind. II.

786. Ὅντινα ἡ ἐν Βοιωτίᾳ κρήνη κακὸν ἀνέθρεψεν, τὸν Ὀδυσσέα — ἐξοχὴ ὄρους — ὄρος Βοιωτίας Par. A.

ὕψιστον ἡμῖν πῆμ' ἐτέκνωσέν ποτε,
μόνος πρὸς οἴκους ναυτίλων σωθεὶς τάλας.
λοῖσθον δὲ καύηξ ὥςτε κυμάτων δρομεὺς,
ὡς κόγχος ἅλμη πάντοθεν περιτριβεὶς,
κτῆσίν τε θοίναις Πρωνίων λαφυστίαν
πρὸς τῆς Λακαίνης αἰνοβακχεύτου κιχὼν,
σύφαρ θανεῖται, πόντιον φυγὼν σκέπας,
κόραξ σὺν ὅπλοις Νηρίτων δρυμῶν πέλας.

Neap. II. *Τεκμηκία* Par. E. Neap. I. et Vind. II. in marg. — 787. *ἐτέκνωσεν*] Sic Par. AK. et Pal. 40. addito ν̄ finali. Reliqui libri et Editt. omnes *ἐτέκνωσε*. — 788. *μόνος*] *μόνους* Par. J. — Cassandra apud Eurip. Troad. 449. (Seidl.) de Ulysse: *ἥξεται μόνος πάτραν*. — 789. *καύηξ*] *κάβηξ* Par. B. Rehd. et Editt. Ald. Basil. II. Par. II. Commel. et Meurs. utrq. — 790. *ἅλμῃ*] *ἅλμης* Par. H. in marg. *γρ. ἅλμῃ*. — *πάντοθεν*] solus Par. B. *πάντοθε*. — *περιτριβείς*] *περιτριβής* Par. K. et edit. Basil. I. *περιτριβεὶς* (α α) Par. H. — 791. *Πρωνίων*] *Πρωνείαν* Par. A. — *λαφυστίαν*] *λαφυστίων* Par. K. *λαφυστίοις* Par. E. — 792. *πρός*] *πρό* Par. H. — *αἰνοβακχεύτου*] *αἰνοβάκχου* Vit. I. Ciz. — *κιχών*] *τυχών* Par. B. — 793. *σύφαρ*] *σῦφαρ* Par. A. quod fortasse rectius. Vid. *Callim.* fragm. XLIX. p. 433. edit. Ernest. Reliqui tamen libri omnes et grammatici constanter *σύφαρ*. *Phrynichus* Bekkeri p. 66, 7 sqq. *τέσσαρά εἰσιν ὀνόματα τοῦ γέροντος· ὠμογέρων, ὁ πρὸ τοῦ προσήκοντος καιροῦ γηράσας· εἶτα ὁ γέρων, ὁμωνύμως τῷ παντὶ γέροντι· τρίτος δὲ σύφαρ· ἔστι δὲ σύφαρ κατὰ γλῶτταν τὸ ἔνδυμα τοῦ ὄφεως· τέταρτος τυμβογέρων, ὁ τύμβου χρείαν ἔχων.* Etym. M. p. 737, 9. *τινὲς δὲ καὶ τὸ ὄφεως γῆρας σύφαρ λέγουσι, τὸ ἀποσυρόμενον. Λυκόφρων δέ, τὸ λίαν γεγηρακός.* Cf. Hesych. et Suid. h. v. — *φυγὼν σκέπας*] *σκέπας φυγών* Par. A. et Vat. 1307. — 794. *Νηρίτων*] *Νηριτῶν* Par. G. *Νηρίτῳ δρυ-*

*Τιμᾶται ἐν Βοιωτίας Βουβυλείᾳ ἡ Ἀθηνᾶ* Par. B. *καὶ ἐξοχὴ Βοιωτίας, ἐν ᾗ γεννηθῆναί φασιν τὸν Ὀδυσσέα* Pal. 40. 787. *Μέγιστον ἡμῖν κακὸν ἐγέννησέ ποτε τὸν Ὀδυσσέα* Par. A. *μέγα — τοῖς Τρωσὶ βλάβος ἐγέννησε· συλλαβὴ κοινὴ τὸ σε̄* Par. C. *ἔθρεψε* Pal. 40. 788. *Μόνος πρὸς τοὺς οἴκους πλέων,* (sic) *σωθεὶς ὁ τάλας* Par. A. *μόνος γὰρ ὁ Ὀδυσσεὺς ὑποστρέφων ἐσώθη ἀπὸ τῶν ἑφεπομένων αὐτῷ ιβ πλοίων εἰς Τροίαν* Par. C. *ἀπὸ τῶν ναυτῶν* Vind. II. *ἀπὸ τῶν σὺν αὐτῷ* Pal. 40.

789. *Τὸ ἔσχατον δὲ ὁ λάρος· λέγει δὲ Ὀδυσσέα· ὥςπερ τῶν κυμάτων δρομεύς* Par. A. *ἤγουν κυματοδρομήσας* Par. C. *ὕστερον — ὡς ὄρνεον λάρος, ἤτοι ὁ Ὀδυσσεύς — ἤτοι ὥςπερ κυματοδρόμος* Vind. II.

790. *Ὥςπερ κογχύλη ἐν θαλάσσῃ πανταχόθεν περιτριβεὶς* Par. A. *περιμαλαχθεὶς* Vind. II. *συντριβεὶς* Pal. 40. 791. *Καὶ τὴν κτῆσιν ταῖς εὐωχίαις — Κεφαλληνίων ἔθνος — ἀντλουμένην* Par. A. *ἐξαντλουμένην* Par. B. *εὐωχίαις — ἀντὶ τοῦ, μνηστήρων, ἀπὸ τόπου* Par. C. *τὴν περιουσίαν — Κεφαλληνίων, μνηστήρων — ἀπαντλουμένην* Vind. II. *ἀντληθεῖσαν* Pal. 40. 792. *Τῆς ἐκ Λακεδαιμονίας Ἑλένης· καὶ γὰρ ὁ Ἴκαρος* (leg. *Ἰκάριος*) *καὶ Λεύκιππος καὶ Τυνδάρεως καὶ Ἀφαρεὺς ἀδελφοί — τῆς ἐπὶ κακῶν οἰστρησάσης, πηδησάσης — καταλαβών* Par. A. *κακῶς μανείσης πρὸς ἔρωτα* Par. C. *τῆς Πηνελόπης, τῆς ἐπι κακοῦ οἰστρησάσης — καταλαβών* Vind. II.

793. *Πέμπελος γέρων ἀποθανεῖται· τέσσαρες γὰρ ἡλικίαι γερόντων — τὴν Ἰθάκην, παρ' ὅσον νῆσος οὖσα, τὴν θάλασσαν σκέπει, ἐπικειμένη ἐπ' αὐτήν* Par. A. *λίαν γηραιός — ἢ τὴν Ἰθάκην, ἢ τὴν ναῦν, ἢ τὸν λιμένα* Par. C. *γέρων ὑπέργηρως — τὴν Ἰθάκην νῆσον* Vind. II.

794. *Ὁ πάνυ γέρων σὺν τοῖς*

*κτενεῖ δὲ τύψας πλευρὰ λοίγιος στόνυξ*
*κέντρῳ δυςαλθὴς ἔλλοπος Σαρδωνικῆς.*
*κέλωρ δὲ πατρὸς ἄρταμος κληθήσεται,*
*Ἀχιλλέως δάμαρτος αὐτανέψιος.*
*μάντιν δὲ νεκρὸν Εὐρυτὰν στέψει λεώς,*
*ὅ τ' αἰπὺ ναίων Τραμπύας ἐδέθλιον,*

μῷ Par. J. — 795. *πλευρά*] *πλευρᾷ* Vind. II. Vit. II. — *λοίγιος*] *λύγιος* Par. H. eadem lectione in margine repetita. — *σιόνυξ* Par A.
796. *δυςαλθής*] Sic Codd. mei ad unum omnes, et Editt. Basil. I. Pott. utrq. et Sebast. sensu optimo. Dicitur enim Ulysses, pastinacae marinae aculeo transfixus, immedicabili vulnere periisse. Vid. Odyss. λ'. 133. *θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ — ἐλεύσεται·* ibiq. Eustath. p. 1676, 43. edit. Rom. (T. I. p. 404, 23. edit. Lips.) *Nicandr.* Ther. 835 sq. *λόγος γε μέν, ὥς ποτ' Ὀδυσσεὺς || ἔφθιτο λευγαλέοιο τυπεὶς ἁλίου ὑπὸ κέντρου.* — Altera lectio *δυςαλγὴς* ex Edit. Aldina transiit in Basil. II. Par. II. Commel. Meurs. utrq. Steph. et Reich. — *ἔλλοπος*] *ἔλλοπι* Vit. I. Ciz. *ἔλλοπος* [ι] Rehd. — *Σαρδωνικῆς*] Par. BDGHJKL. Vind. IV. Vit. II. III. Pal. 40. Rehd. *Σαρδωνικῆς* [ο] Par. C. et Vind. II. *Σαρδονικῆς* Par. AEF. et Editt. Pott. utrq. et Sebast. *Σαρδονικῆς* [ω] Vit. I. et Ciz.
797. *κέλωρ*] *κέλλωρ* Par. H. Rehd. et Editt. Ald. et Sebast. metri gratia, ut ait scientissimus editor. — 798. *Ἀχιλλέως*] *Ἀχιλέως* Par. CH. Neap. I. II. Vind. II. Vit. II. et Editt. Basil. I. et Sebast. — *αὐτανέψιος*] *ἀντανέψιος* Par. J. Consobrinus Medeae, Telegonus, Circes ex Ulysse filius. — 799. *μάντιν δὲ νεκρόν*] *Muellerus* in Addend. p. 290: „Audiamus, quae Bachet de Meziriac in Comment. ad Ovid. Epp. Vol. I. p. 103., ut haec verba explicaret, observavit: „„Il semble, inquit, qu'il veut donner entendre, qu'à son sepulcre se rendoient des oracles, quand il appelle son corps *μάντιν νεκρόν.*" " Sine dubio super sepulcrum erat exstructum templum, in quo erat istud oraculum." — *Εὐρυτάν*] *Εὐρυτᾶν* Par. G. Vind. IV. Vit. III. Legitur hic versus apud Steph. Byz. v. *Εὐρυτᾶνες*, cuius Codd. Par. 1412. et 1413. et Ms. Perusin. h. l. lectionem *Εὐρυτανὸν* proferunt, ubi manifestum est librarios ultimae syllabae accentum pro compendio syllabae *ον* habuisse. De accentu Vid. *Arcad.* de Accent. p. 8, 4. *Draco* Strat. p. 18, 4. *Lobeck.* ad Phrynich. p. 196 sq. et *Göttling.* in libello de Accent. gr. ling. p. 62 sq. — *στέψει*] *στέφει* edit. Ald. *στέψει*, *honorabit.* Vid. *Soph.* Antig. 431. *χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.* ibiq. Erfurdt. — 800. *Τραμπύας*] Par. ABCDEFHKL.

*ὅπλοις· πολυχρόνιον γὰρ τὸ ζῶον· λέγει δὲ Ὀδυσσέα· — ὄρος Ἰθάκης* Par. A. *ὁπλισμοῖς* Par. C. *πανοῦργος ὁ Ὀδυσσεύς — ὄρος Ἰθάκης — πλησίον* Vind. II. *ἤγουν πολέμῳ* Pal. 40. 795. *Ἀποκτενεῖ δὲ τύψας τὰ πλευρὰ ὁ ὀλέθριος· στόνυξ δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον* Par. A. *κέντρον* Pal. 40. 796. *Κέντρῳ δυςθεράπευτος τῆς τρυγόνος ἰχθύος, τοῦ ἐκ Σαρδονίου πελάγους* Par. A. *δυςίατος γὰρ ἡ πληγὴ τοῦ κέντρου τῆς τρυγόνος, ἰχθύος ἀπὸ Σαρδοῦς νήσου* Par. C. *ἐν τῷ τραύματι — ἡ δυςίατος* Pal. 40. 797. *Υἱὸς δὲ τοῦ πατρὸς φονεὺς ὀνομασθήσεται* Par. A. *φονεύς, σφαγεύς* Par. C. *ὁ υἱὸς τῆς Κίρκης, ὁ Τηλέγονος, ὁ φονεύς· ἄρταμος, ἀρτιαμός τις ὤν, ὁ ἐν ἄορι καὶ ξίφει τέμνων* Vind. II. 798. *Τῆς Ἀχιλλέως γυναικὸς Μηδείας ἐξάδελφος* Par. A.
799. *Μαντεῖον Ὀδυσσέως — ὀνομασθὲν ἀπὸ Εὐρύτου ἔθνος Ἠπείρου — στέψει ὁ λαός* Par. A. *τὸν Ὀδυσσέα τιμήσει* Par. C. *ὄνομα ἔθνους — στεφανώσει ὁ λαός* Vind. II. *γενόμενον — ὁ Αἰτωλικὸς ὡς ἀπό τινος Εὐρύτου* Pal. 40. 800. *Ὅ τε τὸ ὑψηλὸν κατοικῶν — χώρα Ἠπεί-*

*ἐν ᾗ ποτ' αὖθις Ἡρακλῆ φθίσει δράκων*
*Τυμφαῖος ἐν θοίνῃσιν Αἰθίκων πρόμος,*
*τὸν Αἰακοῦ τε κἀπὸ Περσέως σπορᾶς,*
*καὶ Τημενείων οὐκ ἄπωθεν αἱμάτων.*
*Πέργη δέ μιν θανόντα Τυρσηνῶν ὄρος*
*ἐν Γορτυναίᾳ δέξεται πεφλεγμένον,*
*ὅταν στενάζων κῆρας ἐκπνεύσῃ βίον*
*παιδός τε καὶ δάμαρτος, ἣν κτείνας πόσις*

Pal. 40. et Editt. omnes, excepta Sebast. *Τραμπυίας* Par. G. Neap. II. III. Vind. II. IV. Vit. I. II. III. Ciz. et Edit. Sebast. *Τραμπίας* Par. J. *Τραμπειίας* Neap. I. *Steph. Byzant. Τράμπυα, πόλις τῆς Ἠπείρου, πλησίον Βουνίμων.* — 801. *Ἡρακλῆ*] *Ἡρακλεῖ* Par. H. in marg. *γρ. Ἡρακλῆ. Canterus:* „Alexandri M. ex Barsine filium, quem Polysperchon, Tymphaeus seu Epirota, dux Aethicum seu Epirotarum, in Cassandri gratiam interfecit, annos natum XIV. Historiam integram leges apud Diodorum Sic. lib. XX. Hic Hercules ab Aeaco, Perseo et Hercule (eius abnepos Temenus) dicitur originem ducere, quod pater Alexander M. paternum genus ad Herculem et Perseum, maternum ad Aeacum referret." — 802. *Τυμφαῖος*] *Τυμβαῖος* Neap. I. — *ἐν θοίνῃσιν*] ex Par. JL. Vit. I. et Ciz. Reliqui omnes *θοίναισιν.* — 804. *ἄπωθεν*] Par. FK. et Editt. Ald. Basil. II. Par. II. Commel. Meurs. utrq. et Reich. *ἄπωθεν* Par. L. Vit. I. Ciz. *ἄποθεν* Par. ADEGJ. Vind. IV. Vit. III. Pal. 40. et Editt. Basil. I. Steph. Pott. utrq. et Sebast. *ἄποθεν* Par. BCH. Vit. II. et Rehd. Vid. supra ad v. 425. — 806. *Γορτυναίᾳ*] Par. ACDEFHJKL. Neap. I. II. III. Vind. II. IV. Vit. I. II. III. Ciz. Pal. 40. et edit. Sebast. *Γορτυναίᾳ* Par. G. *Γορτυνίᾳ* Par. B. Rehd. et Editt. Ald. Basil. II. Par. II. Commel. Steph. Meurs. utrq. Pott. utrq. et Reich. *Γορτυναίῳ* Edit. Basil. I. in Scholiis vero *Γορτυνίᾳ.* — 807. *ἐκπνεύσῃ*] *ἐκπνεύσει* Par. AK. 808. *κτείνας*] *κτείνει* Par. G. Vind. IV. Vit. III.

*ρου, ἀφ' ἧς καὶ ἔθνος Τραμπυεῖς καλοῦνται — οἰκητήριον* Par. A. *ὁ λαός — ἔδαφος.* 801. *Ἐν ᾗ χώρᾳ ποτὲ πάλιν τὸν Ἡρακλέα, υἱὸν Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ Βαρσίνης, Πολυσπέρχων ὁ Ἠπειρώτης* Par. A. *φονεύσει, ἤτοι ὁ Πολυσπέρχων* Par. C. *ὁ βασιλεύς* Pal. 40.

802. *Ὁ Ἠπειρώτης ἐν εὐωχίαις — ἔθνους Ἠπειρωτικοῦ ἀρχηγός* Par. A.

803. *Παρ' ὅσον Ἀλέξανδρος ὁ Μακεδὼν κατὰ μὲν πατέρα εἰς Ἡρακλέα καὶ Περσέα ἀνάγει τὸ γένος· κατὰ δὲ μητέρα εἰς Νεοπτόλεμον καὶ Ἀχιλλέα καὶ Αἰακόν* Par. A. *Ἡρακλῆ, τὸν ὄντα ἀπὸ τοῦ γένους τοῦ Αἰακοῦ* Par. C. *μητρόθεν — πατρόθεν* Vind. II. *λέγει Ἡρακλῆ τὸν ἀπάρχοντα τῆς Περσίδος* Pal. 40.

804. *Τημενὸς ἀπόγονος Ἡρακλῆος — οὐ πόῤῥωθεν αἱμάτων* Par. A. *ἀπογόνων Ἡρακλέος — πόῤῥω συγγενείας* Vind. II. *ἐκγόνου Ἡρακλέος τοῦ παλαιοῦ* Pal. 40. 805. *Ὄρος Τυρσηνίας ἡ Πέργη, ἥτις αὐτὸν τεθνηκότα — τὸ Τυρσηνῶν ὄρος* Par. A. *φασὶ δέ, ὅτι μετετέθη ὁ Ὀδυσσεὺς ἀπὸ Εὐρυτάνων ἐξ Ἠπείρου εἰς τὴν Ἰταλίαν* Par. B. *ὄρος Τυρσηνίας, ἔνθα τὸν Ὀδυσσέα φασὶ κεῖσθαι — Τυρσηνοὶ δὲ Ἠπειρωτικὸν ἔθνος, καὶ Αἴθικες ὁμοίως* Par. C.

806. *Πόλις Τυρσηνίας ἡ Γορτύνη — δέξεται κεκαυμένον* Par. A. *καέντα* Vind. II. 807. *Ἀποθάνῃ* Par. A. *ὁ Ὀδυσσεύς, ἤγουν τὸν θάνατον* Vind. II. 808. *Τηλεμάχου καὶ Κίρκης — ἥντινα ἀποκτείνας ὁ ἀνήρ* Par. A. *Τηλεμάχου — τῆς Κίρκης τῆς γυναικὸς τοῦ Ὀδυσσέως — τῆς Κασσιφόνης* Vind. II. *Κίρκην ὁ Τηλέμαχος* Pal. 40.

αὐτὸς πρὸς ᾅδην δευτέραν ὁδὸν περᾷ,
σφαγαῖς ἀδελφῆς ἠλοκισμένος δέρην,
Γλαύκωνος Ἀψύρτοιό τ' αὐτανεψίας.
χὼ μὲν τοσοῦτον θῖνα πημάτων ἰδὼν
ἄστρεπτον ᾅδην δύσεται τὸ δεύτερον,
γαληνὸν ἦμαρ οὔ ποτ' ἐν ζωῇ δρακών.
ὦ σχέτλι', ὥς σοι κρεῖσσον ἦν, μίμνειν πάτρᾳ

809. *δευτέραν*] *δεύτερον* Pal. 40. — *περᾷ*] *περῶν* Par. C.

810. *ἠλοκισμένος*] *ἠλοκισμένον* Par. A. — *δέρην*] *δέριν* Par. CH. *δέρυν* Vind. II. — 811. *Γλαύκωνος*] *Γλαυκῶνός τ'* Par. DK. Vind. II. Vit. II. *Γλαύκονός τ'* Par. G. Vind. IV. Vit. III. *Γλαύκου τ'* Par. E. *Eustath.* ad Iliad. ζ. 234. p. 638, 61. edit. Rom. (Tom. II. p. 105, 40. edit. Lips.) *ὅτι δὲ καὶ ἕτεροι Γλαῦκοι διάσημοι, δῆλον καὶ αὐτό· ἐν οἷς καὶ ὁ Ἀνθηδόνιος καὶ ὁ παρὰ Ἡροδότῳ* (I. 25. coll. VI. 86.) *καὶ ὃν δὲ Γλαύκωνα ὁ Λυκόφρων καλεῖ παρωνύμως.* — *Ἀψύρτοιό τ'*] *Ἀψύρτοις ὅτε αὐτανεψίους* Par. A. vitiosissime. *ἀντανεψίας*, quod est merum vitium typographicum editionis Basil. II., repetitum est in Editt. Commel. Steph. Reich. et a Lectio in Collect. Poetar. Graec. Tom. II. In novissima editione operae dederunt *τε αὐτανεψίας*, invito, opinor, editore.

812. *τοσοῦτον*] Par. DFGKL. Vind. IV. Vit. I. III. Ciz. Rehd. et Editt. Ald. Basil. II. Par. II. Commel. Meurs. utrq. Pott. utrq. Reich. et Sebast. *τοσούτων* Par. ACEH. Pal. 40. et Editt. Basil. I. et Steph. *τοσοῦτον* Par. B. Vind. II. Vit. II. *τούτων* Par. J. Vulgata lectio, cui quidem vides meliores Codd. refragari, nihilominus tamen retinenda erat, cum propter verbum *ἰδών*, quod flagitare videtur, ut epitheton ad *θῖνα* accedat, tum quod verissime ille *πολύτλας* dicendus sit multitudine malorum tandem oppressus occubuisse. Tot enim calamitatibus iam ante exantlatis, quot nemo fere ante eum tulerat, vidit etiam in extrema senecta uxorem a filio caesam, hunc rursus domestica caede interemtum, et se ipsum denique insanabili vulnere ab altero filio sauciatum: ita ut, licet haec mala horribilia sint, convenientius tamen h. l. ingens malorum series commemoretur. — 813. *ἄστρεπτον*] Par. ABCEFJKL. Vit. I. Ciz. Pal. 40. et Editt. omnes. *ἄτρεπτον* Par. DGH. (hic in marg. *γρ. ἄστρ.*) Vind. II. (*γρ. ἄστρ.*) IV. Vit. II. III. Rectissime Scholiastes antiquus: *ἀφ' οὗ οὐκ ἂν ὑποστρέψῃ, ὡς πρότερον·* locus enim intelligitur, unde nullus ei iterum reditus futurus sit; quem *ἀνόστητον βέρεθρον* dicit *Nonnus* Dionys. XXX. 159. — 814. *ζωῇ*] Hanc formam h. l. libri omnes tuentur. Vid. *Elmsl.* ad Eurip. Med. 946. p. 243. sq. edit. Lips. — *δρακών*] *δράκων* Vit. I. *δρακῶν* Ciz. vitiose.

815. *ὥς*] *ᾧ* Par. D. cum glossa *ᾧτινι.* *ἢ* Vit. I. et Ciz. superaddito *ὥς.* — *μίμνειν*] *μένειν* Par. L. — *πάτρᾳ*] *πάτραν* Par. L. Pal. 40. *εἰς*

809. *Αὐτὸς πρὸς ᾅδην ἀπελεύσεται* Par. A. *ἤγουν ὁ Τηλέμαχος· πρότερον γὰρ ἡ Κίρκη ἐτάφη, ἔπειτα καὶ αὐτός* Vind. II. *ἤγουν μετὰ ταῦτα ἔρχεται* Pal. 40.

810. *Ταῖς σφαγαῖς τῆς ἀδελφῆς Κασσιφόνης τετμημένος τὸν αὐχένα* Par. A. *τῆς Κασιφόνης — τετμημένος τράχηλον* Vind. II. 811. *Τοῦ Γλαύκου, υἱοῦ Πασιφάης καὶ Μίνωος — υἱοῦ Αἰήτου· οἱ τούτων παῖδες αὐτανέψιοι, ἤγουν ἐξάδελφοι* Par. A.

812. *Καὶ ὁ μὲν Ὀδυσσεὺς τοσοῦτον σωρὸν πημάτων ἰδών* Par. A. *ὁ Ὀδυσσεὺς πλῆθος βλαβῶν* Vind. II.

813. *Ἀφ' οὗ οὐκ ἂν ὑποστρέψῃ, ὡς πρότερον — ὑπεισέλθῃ τὸ δεύτερον* Par. A. 814. *Γαληνὴν ἡμέραν οὔποτε ἐν ζωῇ βλέψας* Par. A.

815. *Ὦ ταλαίπωρε, πῶς σοι κρεῖσσον ὑπῆρχεν μένειν ἐν τῇ πατρίδι* Par. A. *λίαν — μένειν* Vind. II.

*βοηλατοῦντι, καὶ τὸν ἐργάτην μύκλον*
*κάνθων' ὑπὸ ζεύγλησι μεσσαβοῦν ἔτι*
*πλασταῖσι λύσσης μηχαναῖς οἰστρημένῳ,*
*ἢ τηλικῶνδε πεῖραν ὀτλῆσαι κακῶν.*
*῾Ο δ' αἰνόλεκτρον ἁρπαγεῖσαν εὐνέτης*
*πλᾶτιν ματεύων, κληδόνων πεπυσμένος,*
*ποθῶν δὲ φάσμα πτηνὸν, εἰς αἴθραν φυγόν,*

*πατρός* Par. B. — 816. *βοηλατοῦντι*] *βοηλατοῦντα* Par. A. et Vat. 1307. *βοηλατοῦν* Ciz. — 817. *κάνθων'*] *κάνθωνες* Par. A. *Schol.* ad Aristoph. Pac. 81. *κάνθων δὲ κυρίως ὁ ὄνος.* et ad Vesp. 179. Apud *Aelianum* Hist. Anim. X. 40. commemoratur *κάνθων Σκυθικός.* Vid. etiam Interpp. ad Aelian. Var. Hist. I. 27. p. 50 sq. edit. Gronov. et *Eustath.* ad Odyss. ί. 222. p. 1625, 40. edit. Rom. (T. I. p. 337, 4. edit. Lips.) — *ζεύγλησι*] Par. DGKL. Vind. IV. Vit. I. III. Ciz. et Editt. Ald. Basil. II. Par. II. Commel. Meurs. utrq. Pott. utrq. Reich. et Sebast. *ζεύγλαισι* Par. AB CEFHJ. Vind. II. Vit. II. Pal. 40. et Editt. Basil. I. et Steph. *ζεύγλαισι* [η supra] Rehd. — 818. *λύσσης*] *λύσσῃς* Par. BC. — *οἰστρημένῳ*] *οἰστρημένον* Par. A. et Vat. 1307. — 819. *τηλικῶνδε*] *τηλίκων δέ* Neap. I. II. Vind. II. Vit. I. II. Ciz. *τηλικῶν δέ* Editt. Ald. Basil. II. Commel. et Meurs. utrq. — *πεῖραν*] *μοῖραν* Par. K. *πεῖραν τολμήσειν* apud Soph. Electr. 463. (Herm.) — 820. *῾Ο δ'*] *ὃ δ'* Par. A. — *αἰνόλεκτρον*] Cf. infra v. 1354. *αἰνόλεκτρον μυχόν*, et Aesch. Agam. v. 692. ibiq. Blomf. Gloss. p. 213. edit. Lips. — *εὐνέτης*] *εὐνάστης* Ciz. *εὐνέστης* Vit. I. — 821. *πλᾶτιν*] *πλᾶστιν* Par. L. Vit. I. et Ciz. *πλάτην* Par. EGK. Vind. II. IV. Vit. II. III. *Suid.* h. v. *πλᾶτις. ἡ γυνή. παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην· ᾿Αριστοφάνης ᾿Αχαρνεῦσι.* (v. 132.) *καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι.* Quae eadem habent Schol. ad Aristoph. l. l. et *Favorin.* h. v. Cf. etiam Hesych. v. *πλάτις* ibiq. Interpp. — *ματεύων*] *μαστεύων* Vit. I. *μαντεύων* Par. E. et Ciz. *ματαίαν* Par. K. — *κληδόνων*] *κληδόνος* Par. F. Pal. 40. *κληδόνων* [ος supra] Rehd. — *πεπυσμένος*] *πεπεισμένος* Par. L. — 822. *φάσμα πτηνόν*] Cf. Eurip. Helen. 605—619. (Dind.) — *αἴθραν*] *αἶθραν* Par. AG. Vind. IV. Vit. II. III. et Edit. Basil. I. *αἴθρα* Ciz. et Rehd. *αἶθρα* Vit. I. — *φυγόν*] *φυγών* [ο supra] Vit. III.

816. *Βοῦς ἐλαύνοντα, καὶ τὸν ἐργάτην ὄνον* Par. A. *ἤγουν τὸν λάγνον, διὰ τὸ ἀδδηφάγον καὶ κατωφερές* Par. B. *παχυτράχηλον* Par. C. *ἤγουν ἐλαύνοντι τοὺς βόας — τὸν ὄνον λάγνον* Vind. II. 817. *Τὸν ὄνον ὑπὸ ταῖς ζεύγλαις — ὑπὸ τὰς τοῦ ζυγοῦ γλυφὰς ἐπιζευγνύειν — μέσαβα γὰρ αἱ γλυφαὶ τοῦ ζυγοῦ* Par. A. *ὄνον σεσαγμένον* Par. C. 818. *Τέχναις — μαινομένῳ* Par. A. *ψευδέσι μανίας πανουργίαις — σοὶ* Vind. II. *πεπλασμέναις — μαινομένῳ* Pal. 40. 819. *῏Η τηλικούτων πεῖραν καρτερῆσαι κακῶν* Par. A. 820. *῾Ο δὲ Μενέλαος τὴν ἐπὶ κακῷ γαμηθεῖσαν αὐτῷ — ἁρπαγεῖσαν — γαμέτης* Par. A. 821. *Γαμετήν, γυναῖκα ζητῶν, τὴν πελάζουσαν καὶ μιγνυμένην — τῶν προῤῥήσεων καὶ μαντευμάτων καὶ τῆς φήμης ἀκηκοὼς* Par. A. *γυναῖκα τὴν ῾Ελένην ζητῶν — φημῶν, μαντευμάτων — μαθὼν* Par. C. *τὴν γαμετὴν ψηλαφῶν, ζητῶν — ἀπὸ φημῶν, τῶν προῤῥήσεων καὶ μαντευμάτων* Vind. II. *γυναῖκα· παρὰ τὸ πλάζειν καὶ μίγνυσθαι — μαντείας τοῦ ᾿Απόλλωνος — μαθών, ἀκούσας* Pal. 40.

822. *Πρῶτος ῾Ησίοδος περὶ τῆς ῾Ελένης τὸ εἴδωλον παρήγαγε· καὶ ῾Ηρόδοτος δὲ εἶπεν, ὅτι ἡ μὲν ἀληθινὴ ῾Ελένη ἔμεινεν παρὰ τῷ Πρωτεῖ, τὸ δὲ εἴδωλον αὐτῆς συνέπλευσεν ᾿Αλεξάνδρῳ ἐπὶ τὴν Τροίαν — εἰς εὐδίαν, εἰς αἰθρίαν φυγών*

*ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς;*
*ποίαν δὲ χέρσον οὐκ ἀνιχνεύσει μολών;*
*ἐπόψεται μὲν πρῶτα Τυφῶνος σκοπάς,*
*καὶ πέμπελον γραῦν μαρμαρουμένην δέμας,*
*καὶ τὰς Ἐρεμβῶν ναυβάταις ἠχθημένας*
*προβλῆτας ἀκτάς. ὄψεται δὲ τλήμονος*
*Μύῤῥας ἐρυμνὸν ἄστυ, τῆς μογοστόκους*

**824.** *μολών*] *μολῶν* Vit. II. — 825. *πρῶτα*] *πρῶτον* Par. J. — *Τυφῶνος σκοπάς*] Rectissime Muellerus: „In promptu est, si quid equidem iudico, Ciliciam hic intelligi, quae regio natalis et sedes Typhonis, et in qua cubile eius Typhoneus specus fuit; Pomp. Mel. I. 13. et Hom. Il. β'. 783. qui *ἐν Ἀρίμοις* eum habitasse canit. *Ἄριμα* vero fuisse montes Ciliciae docet Steph. Byz. ad h. v. Cf. etiam *Heyne* ad Hom. l. l.“ Vid. *Eustath.* ad Iliad. l. l. p. 346, 38 sqq. edit. Rom. (Tom. I. p. 281, 14. edit. Lips.) coll. *Etym. M.* p. 772, 40 sqq. — 826. *πέμπελον*] *πέμπλον* Vind. IV. *Etym. M.* p. 660, 6. *πέμπελος· Λυκόφρων, ἡ γραῦς· παρὰ τὸ εἶναι πλησίον τοῦ πέμπεσθαι εἰς ᾅδην.* — 827. *τάς*] *τῶν* Rehd. — *Ἐρεμβῶν*] Vid. *Bernhardy* ad Dionys. Perieg. v. 180. p. 566. — *ναυβάταις*] Par. AFJ. Neap. III. Vind. II. Vit. I. Ciz. Pal. 40. et Editt. Basil. I. et Sebast. *ναυάταις* Par. BDEGHKL. Neap. I. II. Vind. IV. Vit. II. Rehd. et Editt. Ald. Basil. II. Par. II. Commel. Steph. Meurs. utrq. Pott. utrq. et Reich. *ναυάτας* Par. C. cum glossa *οἰκίας*. *ναυάτας* (supra scr. *αις*) Vit. III. — *ἠχθημένας*] Sic Codd. quos vidi, omnes, et Editt. Ald. Basil. II. Par. II. Commel. Meurs. utrq. Steph. Pott. utrq. et Reich. *ἰχθυμένας* Edit. Basil. I. *ἰχθυωμένας* e Cod. Vat. 117. in textum recepit Sebastianus; cuius mutationis iudicium penes te esto, erudite Lector.

Par. A. *τὸ εἴδωλον τῆς Ἑλένης, ἢ τὸ σῶμα λέγει, ἤγουν αὐτὴν τὴν Ἑλένην — πετόμενον, ἀναχθέν· ἤγουν ὅταν αὐτὴν ἐφόνευσαν ὁ Πυλάδης καὶ ὁ Ὀρέστης· ἐστὶ δὲ κακόπλαστον, κακόζηλον* Par. C. *ζητῶν τὴν Ἑλένην — τὸ φανὲν εἴδωλον — εἰς τὸν αἰθέρα* Vind. II. 823. *Ποίους τῆς θαλάσσης οὐ ψηλαφήσει βυθοὺς καὶ τόπους;* Par. A. *βάθη* Par. C. *οὐκ ἐρευνήσει παραγενόμενος* Vind. II.
824. *Ποίαν δὲ ξηρὰν οὐκ ἐμβατεύσει βαδίζων* Par. A. 825. *Ἐπιβλέψει μὲν ἐν πρώτοις — τὴν Κιλικίαν λέγει* Par. A. *ἴδοι μὲν πρῶτα τὰ Ἄριμα ὄρη τῆς Κιλικίας, ὅπου Πίνδαρος καὶ Ὅμηρός φασιν εἶναι τὸν Τυφῶνα — ἐξοχάς, ὄρη* Par. C. 826. *Τὴν ἤδη εἰς Ἅιδου πεμπομένην — τὴν ἀπολιθωθεῖσαν καὶ στηλωθεῖσαν τὸ σῶμα* Par. A. *ὑπέργηρων, τὴν ἤδη εἰς Ἅιδην πεμπομένην, λιθωθεῖσαν* Par. B. *τριπάλαιαν, λέγει τὴν Κύπρον· ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον· ἐκεῖ τὸ εἴδωλον τῆς γραός — ἀπολιθουμένην* Par. C. *τὴν πάγγηρων, τὴν ἤδη εἰς Ἅιδου πεμπομένην, τὴν ἀπολιθωθεῖσαν* Vind. II. *Κύπρον ἀπὸ μέρους* Pal. 40. 827. *Καὶ τὰς τῶν Ἀράβων καὶ Τρωγλοδυτῶν — ναύταις μεμισημένας* Par. A. *ἐχθράς, διὰ τὸ τραχὺ καὶ δύσκολον τοῦ τόπου* Par. B. *Τρωγλοδυτῶν οἰκίας — βαρυτάτους, διὰ τὸ εἶναι ὑπὸ γῆν* Par. C. *Ἀράβων, ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ βαίνειν, οἰκεῖν* Pal. 40.
828. *Προβεβλημένους σκοπέλους, τόπους — θεάσεται δὲ τοῦ ταλαιπώρου* Par. A. *ἐπηρμένας εἰς ὕψος ὄχθας τοῦ Νείλου δηλαδή* Par. C. *αἰγιαλούς* Vind. II. 829. *Τῆς Μύῤῥας, πόλεως Φοινίκης, τὸ ἰσχυρὸν ἄστυ. Μύῤῥα ἡ νῦν καλουμένη Βύβλος ἐν Φοινίκῃ, περὶ ἧς Διονύσιος ὁ περιηγητής·* (v. 912.) *Βύβλον τ' ἀγχίαλον καὶ Σιδῶν' ἀνθεμόεσσαν. — Ἥρας θυγάτηρ, ἐπισχετικὰς τῶν ὠδίνων τῶν τικτουσῶν γυναικῶν — τὰς ἐν τῷ τίκτειν, μογεῖν* Par. A. *τῆς Θείαντος θυγατρός — κρημνῶδες — τὴν Βύβλον — ἥστινος Μύῤῥας τὰς ἐν τῇ γέννᾳ κακοπαθείας* Par. C. *ὄνομα*

ὠδῖνας ἐξέλυσε δενδρώδης κλάδος.
καὶ τὸν θεᾷ κλαυσθέντα Γαύαντος τάφον
Σχοινῖδι μουσόφθαρτον Ἀρέντᾳ, Ξένῃ,
κραντῆρι λευκῷ τόν ποτ᾽ ἔκτανε πτέλας.
ἐπόψεται δὲ τύρσιας Κηφηΐδας,

831. κλαυσθέντα] κλασθέντα Par. A. perperam. — 832. Σχοινῖδι] Sic recte Par. G. Vind. IV. Vit. III. Reliqui libri Σχοινίδι, excepto Par. A., qui praebet Σχοινῆδι. — μουσόφθαρτον] μουσοφθάρτον (ου superscr.) Par. G. — Ἀρέντᾳ] Ἀβρένιᾳ Par. C. Ἀρεία Vit. I. — Ξένῃ] Herodoti locum (lib. II, 112.) iam a Pottero allatum vidimus: ἔστι δὲ (ἐν Μέμφι) ἐν τῷ τεμένει τοῦ Πρωτέος ἱρόν, τὸ καλέεται Ξείνης Ἀφροδίτης· συμβάλλομαι δὲ τοῦτο τὸ ἱρὸν εἶναι Ἑλένης τῆς Τυνδάρεω, καὶ τὸν λόγον ἀκηκοὼς ὡς διαιτήθη Ἑλένη παρὰ Πρωτέϊ, καὶ δὴ καὶ ὅτι Ξείνης Ἀφροδίτης ἐπωνύμιόν ἐστι· ὅσα γὰρ ἄλλα Ἀφροδίτης ἱρά ἐστι, οὐδαμῶς Ξείνης ἐπικαλέεται.

833. κραντῆρι] Nicand. Ther. 446. sq. ἐν χροῒ νύγμα || εἴδεται αἱμαχθέντος ὑπὸ κραντῆρος ἀραίου. ibique Scholiastes: κραντῆρες λέγονται οἱ ὕστερον ἀναβαίνοντες ὀδόντες παρὰ τὸ κραίνειν καὶ ἀποπληροῦν τὴν ἡλικίαν· νεωτέρων (adulta aetate) γὰρ ἤδη ἡμῶν γενομένων φύονται οἱ ὀδόντες οὗτοι. Κλέανθος δὲ σωφρονιστῆρας (Weisheitszähne) αὐτοὺς καλεῖ, διὰ τὸ ἅμα τῷ ἀνιέναι αὐτοὺς καὶ τὸ σῶφρον τοῦ νοῦ λαμβάνειν ἡμᾶς. Cf. *Hesych.* h. v. et *Polluc.* Onom. II. 92. — πτέλας] πέλας Par. E. *Hesych.* πτελέα· σῦς, ἀπὸ Λακώνων. ἢ εἶδος δένδρου. ubi prior glossa videtur ad vocem πτέλας pertinere. — 834. τύρσιας] Sic Par. CFH. Vind. II. Vit. I. Ciz. Pal. 40. et Editt. Basil. I. Meurs. utrq. Steph. Pott. utrq. et Sebast. τυρσίας Parisini reliqui, Vind. IV. Vit. II. III. Rehd. et Editt. Ald. Basil. II. Par. II. Commel. et Reich. Videntur enim inter Grammaticos fuisse, qui τυρσὶς scriberent ὀξυτονούμενον, quasi παρώνυμον esset a τύρσος (τὸ ἐν ὕψει οἰκοδόμημα Hesych.). Regulam vid. apud *Arcad.* de Accent. p. 34, 19. τὰ εἰς σις — τὰ μέντοι παρώνυμα χαίρουσι τῇ ὀξείᾳ· χρύσης χρυσίς, νῆσος νησίς· σεσημείωται τὸ ἄσις ὁ ῥύπος, ἀπὸ τοῦ ἄσης γεγονός. De significatione vocis τύρσις vid. supra ad v. 717. et adde Schol. ad Pind. Olymp. II. 127. τύρσιν, πόλιν· κυρίως δὲ τὸ τεῖχος. λέγονται γὰρ πρῶτοι Τυρσηνοὶ τὴν τῶν τειχῶν κατασκευὴν εὑρηκέναι. *Erotian.* Lex. Hippocr. τύρσις· Βακχεῖος ἐν α΄ φησί· σκηνή, ἢ πύργος ἢ προμαχών. — Κηφηΐδας] Κηφιήδας Par. G.

γυναικός — ἤγουν τὴν Βύβλον, στερρὰν πόλιν — ἥστινος ἐπισχετικὰς τῶν ὠδίνων Vind. III. 830. Τόκους ἐξέφυσεν (sic) — ὁ τῆς μυῤῥίνης κλάδος Par. A. τὰς ἐπὶ τοῦ τοκετοῦ, ἤγουν ὅτε ἐγέννησε τὸν Ἄδωνιν — ἤνοιξε τοῦ δένδρου φλοιός Par. C.

831. Καὶ τὸν τῇ θεᾷ κλαυσθέντα — τοῦ Ἀδώνιδος παρὰ Κυπρίοις· ἡ δὲ εὐθεῖά ἐστιν Γαύας Par. A. θρηνηθέντα — Ἀδώνιδος — ἤγουν περὶ Ἄδωνιν περιφραστικῶς Par. C. τῇ Ἀφροδίτῃ — τοῦ Ἀδώνιδος παρὰ Κυπρίοις Vind. II. θρηνηθέντα — Ἄδωνις Γαύας παρὰ Κυπρίοις· περιφραστικῶς τὴν Κύπρον Pal. 40.

832. Τῇ Ἀφροδίτῃ ἐν Σάμῳ· Σχοινὶς δέ ἐστιν ἡ εὐθεῖα — τὸν ὑπὸ τῶν Μουσῶν φθαρέντα — τῇ Ἀφροδίτῃ Par. A. τῇ δίκην σχοινίου συνδεούσῃ τοὺς ξένους πρὸς συνουσίαν· ἢ τῇ καταφορικῇ — τὸν ἀναιρεθέντα ὑπὸ τῶν Μουσῶν — τῇ ἁρμοποιῷ — τῇ φιλοποιῷ· ἐπίθετα Par. C. ἁρμοζούσῃ — φιλικῇ Pal. 40.

833. Τῷ ὀδόντι· ὅντινά ποτε ὁ κάπρος· παρὰ Κίλιξιν — ἔκτεινεν Par. A. ὀδόντι, παρὰ τὸ τὰ κραναὰ τείρειν Par. B. ὁ κάπρος, ὁ ἄγριος χοῖρος Par. C. 834. Θεάσεται δὲ τὰς πόλεις καὶ τύρσεις, ἀνοικοδομήματα — τὰς Αἰθιοπικάς· ἀπὸ Κηφέως, βασιλέως Αἰθιόπων Par. A. θεάσεται τὰς πόλεις, τὰ τείχη — ἤγουν τὰς τοῦ Κηφέως βασιλέως Αἰθιοπίας· ἤγουν καὶ τὴν Αἰθιοπίαν

*καὶ Λαφρίου λακτίσμαθ' Ἑρμαίου ποδός,*
*δισσάς τε πέτρας, κέπφος αἷς προςήλατο*
*δαιτὸς χατίζων. ἀντὶ θηλείας δ' ἔβη,*
*τὸν χρυσόπατρον μόρφνον ἁρπάσας γνάθοις,*

Vind. IV. Vit. III. *Κηφηνίδας* Par. A. cui lectioni favere videntur *Agatharchides* in Photii Bibl. p. 442. ed. Bekk. *οἱ γὰρ περὶ Κλεινίαν ἱστορικοί φασιν, ἀπὸ τῆς ποιητικῆς ἐξουσίας καὶ αὐτοὶ ἄδειαν λαβόντες, ἐξ Ἄργους εἰς Αἰθιοπίαν (ἐκαλεῖτο δὲ τότε Κηφηνία) παραγεγονότα ἐπὶ λύσει τῆς Κηφέως θυγατρὸς τὸν Περσέα.* et *Nonn.* Dionys. II. 682 sq. *ἐπεὶ Νοτίην χθόνα Κηφεὺς ‖ νάσσατο, Κηφήνων ἐπιήρανος Αἰθιοπήων.* Recte tamen hanc formam improbavit Tzetzes: *πρόσχες δέ, μὴ γράφῃς Κηφηνίδας, ὡς οἱ μωροί, λέγοντες Κηφῆνας τοὺς Αἰθίοπας λέγεσθαι.* Cf. *Nicandr.* Alex. v. 100.

*Περσεὺς ἦν ποτε ποσσὶ λιπὼν Κηφηΐδα γαῖαν.*

et Etym. M. p. 512, 14. — 835. *λακτίσμαθ'*] *λάκτισμα θ'* Par. H. — *Ἑρμαίου*] Par. ADGKL. Vat. 1307. Neap. I. Vind. IV. Vit. I. III. Ciz. et editt. Bas. I. et Steph. *Ἑρμέου* Par. BCEFHJ. Neap. II. Vind. II. Vit. II. Pal. 40. Rehd. et Editt. Ald. et Sebast. *Ἑρμείου* Neap. III. ex correct. (Par. D. in marg. *γρ. Ἑρμέου ἤτοι Ἑρμείου.*) et Editt. Basil. II. Par. II. Commel. Meurs. utrq. Pott. utrq. et Reich. Nostra lectio confirmatur etiam Is. Tzetzae testimonio, licet inepte eam explicantis: *οἱ μὲν πάντες τὸ μαι δίφθογγον γράφουσι, ὡς ἔοικεν, οὐκ εἰδότες διαφοράν. ἐγὼ δὲ ἕρμα, ἕρμαιον τὸ εὕρημα, καὶ ἡ γενικὴ ἑρμαίου, τοῦ εὑρήματος· Ἑρμέου δὲ ποδός, τοῦ Ἑρμειακοῦ, ψιλόν, ὅτι ἐκθλίψει τοῦ ἰῶτα γέγονεν.* — 836. *κέπφος*] *κέμφος* Par. E. De hac voce vid. *Hemsterh.* ad Aristoph. Plut. v. 913. p. 311. edit. Lips. et Schol. ad Pac. v. 1065. — *προςήλατο*] *προςήλλατο* Par. CFGL. Neap. I. Vind. II. IV. Vit. I. II. III. Ciz. et Edit. Basil. I.

838. *μόρφνον*] *γρ. καὶ μόρφον* Par. H. in marg. In accentu huius vocis paene invitus sequor Grammaticorum canonem, nullo, ut saepissime talia, certo fundamento nitentem; vid. *Schol. Venet.* ad Iliad. ω'. 316. *μόρφνον, ὡς ὕπνον· καὶ οὕτως ἔχει ἡ ἀνάγνωσις· — τὰ γὰρ εἰς νος λέγοντα δισύλλαβα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβήν, πάντα βαρύνεται, ὑπεσταλμένων τῶν εἰς μος ληγόντων· οἷον χόρτος, φόρτος, ὅρκος, ὄρθος τὸ μονογενές, (ἦν δὲ κύων Γηρυόνου Favor.) πόρνος· οὐ γὰρ θηλυκὸν αὐτοῦ τὸ πόρνη. οὕτως θέλει καὶ τὸ πτόρθος, οὕτως μόρφνος. παρεφύλαξα δὲ τὰ εἰς μος διὰ τὸ κορμός καὶ φορμός.* Quae iisdem fere verbis leguntur etiam apud *Etymologum* p. 591, 25. et *Favorinum* fol. 365. edit. Rom. Cf. Arcad. de Accent.

*θεάσεται* Par. C. *τῆς Αἰθιοπίας, ἧς βασιλεὺς Κηφεύς, ὁ Ἀνδρομέδας πατήρ* Pal. 40. 835. *Καὶ Λαφρίου πηγήν· Λάφριος ὁ φιλόξενος· λέγει δὲ τὸν Ἑρμῆν ἐπιθετικῶς. φασὶ δέ, ὅτι ἐν Αἰθιοπίᾳ Ἑρμῆς φυλάττων κατὰ βουλὴν τοῦ Διὸς τὴν Ἰώ, ἵνα μὴ βλαβῇ ὑπὸ τῆς Ἥρας, καὶ διψήσας ἐλάκτισε τὴν γῆν, καὶ ἀνέδωκεν ὕδωρ· ὅθεν καὶ Ἑρμοῦ πτέρνα καλεῖται* Par. A. *ἀπὸ κοινοῦ τὸ ἐπόψεται· Λάφριος ὁ φιλόξενός ἐστι· ἐστὶ δὲ ἐπίθετον Ἑρμοῦ — ἤγουν τὸν τόπον, ὃν ποδὶ ἐλάκτισεν ὁ Ἑρμῆς ἐν Αἰθιοπίᾳ* Par. C. *φυλάττων τὴν Ἰώ — διψήσας ἐλάκτισε καὶ ἀνεδόθη ὕδωρ — Ἑρμοῦ — τὴν Αἰθιοπίαν λέγει* Pal. 40. 836. *Τὰς δύο δὲ πέτρας — νῦν τὸ κῆτος καταχρηστικῶς· αἷς προσεπήδησεν* Par. A. *ἤγουν τὴν Ἰόπην — πέτραις, προςῆλθε* Par. C. *ἐπόψεται Αἰθιοπίαν — τὸ κῆτος* Pal. 40. 837. *Εὐωχίας χρήζων* Par. A. *τροφῆς· λέγει δὲ τοῦ φαγεῖν τὴν Ἀνδρομέδαν, τοῦ Κηφέως θυγατέρα — χρήζων — ὑπεχώρησε* Par. C. *εὐωχίας χρήζων — ἀντὶ τῆς Ἀνδρομέδας — ὑπεχώρησε τὸ κῆτος* Vind. II. 838. *Τὸν Περσέα λέγει — μορφνὸν δὲ ἀετόν, ἁρπάσας σιαγόσι* Par. A. *τὸν Περσέα, τὸν υἱὸν τοῦ Διός· ἤγουν ὁ ἔχων πατέρα τὸν*

τὸν ἡπατουργὸν ἄρσεν' ἀρβυλόπτερον.
πεφήσεται δὲ τοῦ θεριστῆρος ξυρῷ,
φάλαινα δυςμίσητος ἐξινωμένη,
ἱπποβρότους ὠδῖνας οἴξαντος τόκων
τῆς δειρόπαιδος μαρμαρώπιδος γαλῆς·

p. 62, 9. ubi in verbis τὸ δὲ μόρφνος ὁ μέγας corrige, ὁ μέλας. Rectius autem, ut videtur, ὀξυτονεῖται haec vox apud *Hesiodum* Scut. v. 134. μορφνοῖο φλεγύαο. quae verba afferens Etym. M. p. 792. explicat: τουτέστι μέλανος ἀετοῦ. Similiter etiam *Lex. Seguer.* p. 303, 22. μορφνόν· εἶδος ἀετοῦ. et *Photius* Lex. p. 275. (Pors.) Utrumque accentum, e diversis glossis desumtum, habet *Suidae* compilatio: μορφνόν· σκοτεινόν. μόρφνος· εἶδος ἀετοῦ, οἱονεὶ μορφονός τις ὤν· ὁ ἀεὶ περὶ φόνον μεμορημένος. μόνοι γὰρ οὗτοι τῶν ἀετῶν οὐ κυνηγετοῦσιν, ἀλλὰ νεκροῖς σώμασι τρέφονται. — 839. ἀρβυλόπτερον] Explicat hoc verbum *Eustathius* ad Odyss. μ'. 70. p. 1712, 23. edit. Rom. (T. II. p. 9, 40. edit. Lips.) οἱ δὲ Βορεάδαι, Ζήτης καὶ Κάλαϊς, οὓς ὁ μῦθος πτερωτοὺς πλάττει, καθά που καὶ Περσέα τὸν ποιητικῶς ἀ ρ β υ λ ό π τ ε ρ ο ν, ἤγουν πτερόπουν κατὰ τὸν μῦθον· ταῖς γὰρ ἀρβυλαῖς, (corrige ἀρβύλαις) αἵπερ εἰσὶν εἶδος ὑποδήματος, οἱ πόδες δηλοῦνται. Cf. *Etym. M.* p. 135, 11. *Galen.* Gloss. Hipp. p. 66. edit. Steph. ἀρβύλαι· ὑποδήματα τὰ βαθέα. *Phot.* Bibl. Cod. III. p. 2, b. 18. edit. Bekk. ex *Nonnoso*: ὅτι τὰ σανδάλια, φησί, νυνὶ λεγόμενα ἀρβύλας ἔλεγον οἱ παλαιοί.

841. φάλαινα] φάλλαινα Par. CFJL. Vit. I. Ciz. et Edit. Basil. I. — ἐξινωμένη] ἐξενουμένη Par. A. — 842. ἱπποβρότους ὠδῖνας] ἱπποβρώτους Vit. I. Ciz. Cf. *Nonn.* Dionys. XXV. 40—42. XXXI. 23. — τόκων] τόκον Par. A. — 843. μαρμαρώπιδος] μαρμαρόπαιδος Par. K.

εἰκασθέντα χρυσῷ — ἀετόν, τὸν Περσέα — λαβών, ἤγουν τὸ κῆτος, σιαγόσι Par. C. 839. Τὸν μάγειρον τοῦ κήτους, τὸν ἀνδρεῖον· τὸν ἔχοντα πτερωτὰ ὑποδήματα· ἀ ρ β ύ λ η γὰρ εἶδος ὑποδήματος Par. A. τὸν ἀνδρεῖον· τὸν πτερωτὰ ὑποδήματα ἔχοντα Par. B. τὸν κατεργασθέντα τοῖς ἡπάτοις Par. C. τὸν ταχύτατον Neap. III. ἐπώνυμον τοῦ Περσέως, τὸν μάγειρον, τὸν Περσέα ἰσχυρόν — πτερωτὰ ὑποδήματα ἔχοντα, πεδιλόπεζον Vind. II. γενναῖον· ἔχοντα πτερὰ εἰς τοὺς πόδας, ἢ πτερωτὰ ὑποδήματα ἔχοντα Pal. 40.

840. Φονευθήσεται δὲ τοῦ Περσέως τῷ ξίφει, ἢ δρεπάνῳ· ξ υ ρ ὸ ν δέ, διὰ τὴν ἀκμήν Par. A. λογχοδρεπάνῳ Par. B. ἤγουν τοῦ Ἀκάμαντος δρεπάνῳ Par. C. φονευθήσεται, ἀναιρεθήσεται, ἀντὶ τοῦ φησεται — ἤγουν τοῦ Περσέως λογχοδρεπάνῳ Vind. II. 841. Νῦν ἡ Γοργώ, ἡ πολυμίσητος — ἐκνευρισμένη Par. A. ἐκνευριζομένη Par. B. μεμισημένη, πεφονευμένη Par. C. τὸ κῆτος αὐτό — ἡ μισητή, ἡ ἀσθενής, ἐκνευρισθεῖσα Vind. II.

842. Ἐπειδὴ δύο παῖδας ἔτεκεν· ἵππον μέν, τὸν Πήγασον· βροτὸν δὲ ἄνδρα, τὸν Χρυσάορα — τοῦ Περσέως Par. A. ἤγουν τὰς γεννησάσας τὸν Πήγασον ἵππον καὶ τὸν Χρυσάορα ἄνθρωπον — ἤγουν τὸν τράχηλον τῆς Μεδούσης Γοργόνος κόψας Par. C. ἵππον καὶ ἄνθρωπον γεννῶσα — ἀνοίξαντος αὐτοῦ τοῦ Περσέως Vind. II. 843. Τῆς ἐκ τοῦ τραχήλου τεκούσης Γοργόνος, καθάπερ αἱ γαλαῖ· τὸν Χρυσάορα καὶ Πήγασον — τῆς ἀπολιθούσης τοὺς ἀνθρώπους διὰ τῶν ὀφθαλμῶν αὐτῆς — τῆς Γοργόνος· καὶ αὐτὴ γάρ, ὥςπερ ἡ γαλῆ, ἐκ τοῦ στόματος (sic) ἐγέννησεν Πήγασον καὶ Χρυσάορα Par. A. τῆς λίθους ποιούσης τοὺς ἀνθρώπους, τῆς Γοργόνος· ἡ θαλασσία γὰρ γαλῆ ἐκ τοῦ τραχήλου γεννᾷ Par. C. τῆς τεκούσης παῖδας ἐκ τοῦ τραχήλου — τῆς ἀπολιθούσης τοὺς ἀνθρώπους — θαλάσσης, τῆς ποιούσης γαλήνην (sic) Vind. II. φοβερᾶς· ἀπολιθούσης τοὺς ὁρῶντας αὐτήν Pal. 40.

ὃς ζωοπλαστῶν ἄνδρας ἐξ ἄκρου ποδὸς
ἀγαλματώσας ἀμφελυτρώσει πέτρων,
λαμπτηροκλέπτης τριπλανοῦς ποδηγίας.
ἐπόψεται δὲ τὰς θερειπότους γύας,
καὶ ῥεῖθρον Ἀσβύσταο καὶ χαμευνάδας

845. ἀμφελυτρώσει πέτρων] ἀμφελυτρώσας Par. E. Solus Par. A. πετρῷ, quod refingendum est in πέτρῳ. vid. Schol. min. et Paraphrasten Vaticanum: καὶ τῷ λίθῳ αὐτῆς περισκεπάσει, ἤγουν ἀπολιθώσει. Reliqui tamen libri et impressi omnes Genitivum tuentur, sive πέτρων exhibentes, sive, proclivi errore, πέπλων Par. L. Vit. I. et Ciz. *Sebastianus* tamen, respiciens fortasse ad v. 75., de suo dedit πέτροις, qua correctura locus minime indiget. — 846. τριπλανοῦς ποδηγίας] Intelligitur oculus ille, quo duce Gorgones alternante vice utebantur. Eodem sensu dixit *Nonnus* XXV. 36. Φορκίδος ἀγρύπνοιο λαβὼν ὀφθαλμὸν ἀλήτην. Male igitur *Scaliger*:

Sagax tricaecae lucifur custodiae.

847. θερειπότους] θερειβρότους Par. A. quod accuratissimo librario excidit pro θερειβότους, explicatum ab *Eustathio* ad Iliad. β'. 287. p. 222, 20. edit. Rom. (T. I. p. 180, 21. edit. Lips.) πρὸς δὲ τὸ ἱππόβοτον σύγκειται καὶ ὁ βούβοτος λειμών. καὶ αὐτὰ δέ πως καὶ τὸ θερείβοτον συντέθειται, ὃ δηλοῖ τόπον κατὰ τοὺς παλαιοὺς ἔχοντα καὶ ἐν θέρει νομάς. Vid. *Herm.* ad Soph. Trach. 187. — γύας] Par. ABDEFHJK. Vit. II. et Editt. Basil. I. et Reich. γυίας Par. CGL. Vind. II. IV. Vit. I. III. Ciz. Pal. 40. Rehd. et Editt. reliquae omnes. — 848. Ἀσβύσταο] Ἀσβύστα Vind. II. Eodem nomine Nilum appellavit Callimachus apud Steph. Byz. v. Ἀσβύστα (Callim. fragm. XIII. p. 422. ed. Ernest.) οἵη τε Τρίτωνος ἐφ' ὕδασιν Ἀσβύσταο. — χαμευνάδας] Par. ACEFHJ. Neap. I. II. III. Vind. II. Vit. II. Pal. 40. et Editt. Basil. II. Par. II. Commel. Meurs. utrq. Steph. Pott. utrq. Reich. et Sebast. χαμευνίδας Par. BDGKL. Vind. IV. Vit. I. III. Ciz. Rehd. et Edit. Ald. χαμευνάδων Edit. Basil. I. in textu, in Schol. autem χαμευνάδας. Proprie apud Homerum Odyss. κ'. 243. ξ'. 14. dicuntur σύες χαμαιευνάδες h. e. αἱ χαμαὶ κοιμώμεναι, ubi haec monuit *Eustathius* p. 1748, 61. edit. Rom. (T. II. p. 58, 21. edit. Lips.) ἰστέον δέ, ὅτι ἐπὶ συῶν ἡ λέξις αὕτη κυρία. ἄνθρωποι μέντοι χαμαιεῦναι παρὰ τῷ ποιητῇ ἐν Ἰλιάδι (π'. 235. Σελλοὶ χαμαιεῦναι)· ἐπειδὴ

844. Ὅς ἀπολιθῶν ἄνδρας, Περσεύς — ἀπ' ἄκρου τοῦ ποδός — λείπει δὲ τὸ, μέχρι τῆς κορυφῆς Par. A. ὁ μεταπλάττων Par. C. ὁ Περσεὺς μεταπλάττων ἀπὸ τῶν ζώων — ὁ μεταβάλλων τοὺς ἀνθρώπους εἰς λίθους Vind. II.

845. Ἀγάλματα καὶ ἀνδριάντας ποιήσας — ἐξαπλώσει, περισκεπάσει λίθων Par. A. ἀγαλματοποιήσας, λίθους ποιήσας, ἀντὶ τοῦ, ἠγαλμάτου — τῇ ἀπολιθώσει, τῇ ἐπικαλύψει Vind. II. ἠγαλμάτου — περικαλύψει τῶν πέτρων, ἤγουν τῇ ἀπολιθώσει Pal. 40. 846. Ὁ Περσεύς, ἐπειδὴ ἐκ τῶν ὄπισθεν κρατήσας τοῦ ὀφθαλμοῦ τῆς Γοργόνης ἔκλεψε (sic) τὴν κεφαλήν· ἢ ὁ τὸν ὀφθαλμὸν ἐκ τῶν ὄπισθεν ὑποκλέψας τῶν Φορκίδων — ἀντὶ τριπλῆς ὁδηγίας Par. A. ὀφθαλμοκλέπτης, ἤγουν ὁ κλέπτης τοῦ ἑνὸς ὀφθαλμοῦ τῶν τριῶν Γοργόνων Par. C. ὁ ὀφθαλμοκλέπτης, ὁ Περσεύς — τριπλῆς· αἱ τρεῖς ἐποδήγουν ἀλλήλας ἐναλλὰξ ἕνα ἔχουσαι ὀφθαλμόν· ὅτι μία παρ' ἑτέρας ἐναλλὰξ χρωμένη τῷ ὀφθαλμῷ κατὰ πλάνην καὶ παραφορὰν τὰς λοιπὰς ἐποδήγει Vind. II. τῆς τῶν τριῶν Φορκίδων πλάνης Pal. 40. 847. Ἐπιβλέψει δέ, τὴν Αἴγυπτον λέγει· τῷ γὰρ θέρει ὁ Νεῖλος ἀρδεύει αὐτήν — μέτρον γῆς ὁ γύης Par. A. ὁ Μενέλαος· λέγει δὲ τὴν Αἴγυπτον· ὁ Νεῖλος γὰρ ἐξερχόμενος ἀρδεύει ἐν τῷ θέρει αὐτήν· οὗτος δὲ διΐστησι τὴν Αἰθιοπίαν τῆς Λιβύης Vind. II. ἐν θέρει ποτιζομένας, τὴν Αἴγυπτον Pal. 40.

848. Τοῦ Νείλου τοῦ Λιβυκοῦ ποταμοῦ· Ἀσβύσται γὰρ ἔθνος Λιβύης

*εὐνάς, δυσόδμοις θηρσὶ συγκοιμώμενος.*
*καὶ πάντα τλήσεθ' εἵνεκ' Ἀργείας κυνὸς*
*τῆς θηλύπαιδος καὶ τριάνορος κόρης.*

*καὶ χαμεῦναι καὶ χαμευνάδες παρὰ τοῖς παλαιοῖς ψίαθοι καὶ στιβάδες· οἱ* [*δὲ* addendum e Favorino, qui eadem referens habet *εἰσὶ δὲ οἵ φασι*) *φασι καὶ ὅτι χαμεύνα ἡ ταπεινὴ κλίσις καὶ στιβάς. Hesych.* v. *χαμαιευνάδες — ἢ οἱ χαμαὶ κοιτῶντες.* Quod autem h. l. *εὐνὴ χαμευνὰς* coniunctum sit, id neminem, credo, in poeta offendet. — 849. *δυσόδμοις*] *δυσόδμους* Par. ACDFGK. Vat. 1307. Neap. I. II. III. Vind. II. IV. Vit. III. Consentiunt Paraphrasis Vaticana, Scholia minora, et Codex Edit. Basil. I. *δυσόθμους* (sic) [*οις* superscr.] Vit. II. *δυσόδμοις* Par. BEHJL. Vit. I. Ciz. Pal. 40. Rehd. et Editt. Ald. Basil. II. et reliquae deinceps, praeter novissimam, omnes. Utramque lectionem agnoscit Tzetzes: *διὰ δὲ τὸ δυσῶδες τῆς φώκης οὗτος εἶπε τὸ δυσόδμους. ἢ δυσόδμοις θηρσίν.* Intelligendae autem sunt phocae, bestiae foedissimi odoris, quarum *ὀλοώτατον ὀδμὴν* ex Homero aliisque notam habemus; vid. *Odyss. δ'.* 406. 442. *Oppian.* Cyn. III. 114. *φωκὴ δυσαής.* Facta autem epitheti translatione, sensus loci si non invertitur, obscuratur certe, et vis adiectivi minuitur. Suppresso enim bestiarum nomine, quibuscum cubandum sit Menelao, unde poteris, quae eae sint, subodorari, nisi ex ipso, quo insigniuntur, odore? — 850. *τλήσεθ' εἵνεκ'*] *τλήσετ' εἵνεκ'* (sic) Par. A. *τλήσεθ' εἵνεκ'* [*τ* superscr.] Vind, II. et Pal. 40. cum glossa: *Ἰωνικῶς. τλήσετ' εἵνεκ'* Par. H. Vit. I. Ciz. Ad hanc lectionis varietatem pertinet Tzetzae adnotatio: *τλήσεθ' εἵνεκα καὶ τλήσετ' εἵνεκα. τὸ μὲν τλήσεθ' εἵνεκα, Ἀττικόν· δασύνεται γὰρ τὸ εἵνεκα Ἀττικῶς. τὸ δὲ τλήσετ' εἵνεκα, Ἰωνικῶς καὶ Αἰολικῶς. ἐκεῖνοι γὰρ πάντα ψιλοῦσιν, ὡς τὸ Λεύκιππος, ἀπηλιώτης, καὶ τὰ ὅμοια· ταῦτα γὰρ παρ' ἡμῖν δασέως ἐκφέρονται, Λεύχιππος καὶ ἀφηλιώτης.* Praeterea notanda est elisio diphthongi, rarissima et adhuc controversa apud tragicos poetas, in Lycophrone autem, praesertim cum longa syllaba subsequatur, facillime toleranda. Vid. *Herm.* Elem. doctr. metr. p. 51. et ad Eurip. Ion. v. 1079. — *Ἀργείας*] *Ἀργίας* Par. G. Vind. IV. Vit. III. Aliam lectionem, Codd. auctoritate prorsus destitutam, in libris invenit, aut fortasse ipse commentus est *Steph. Byzant.* s. v. *Αἶγυς* ita scribens: *Αἶγυς, πόλις Λακωνική. ὡς Εὐφορίων. οἱ πολῖται Αἰγῦται, ὡς Παυσανίας·* (Paus. III, 2, 5. VIII. 27, 4.) *Λυκόφρων δὲ τὸ ἐθνικὸν Αἴγυος, τὸ θηλυκὸν λέγων οὕτω·*

*καὶ πάντα τλήσεσθ' οὕνεκ' Αἰγύας κυνός,*
*τῆς θηλύπαιδος καὶ τριάνορος κόρης.*

*ὁ λόγος περὶ Ἑλένης, Λακωνικῆς οὔσης, καὶ ἄῤῥενα μὴ τεκούσης, τῷ Μενελάῳ καὶ Ἀλεξάνδρῳ καὶ Δηϊφόβῳ γαμηθείσης.* Ita enim hunc Stephani locum corrigendum esse iam dudum monuit *Meursius* in Comment. ad Lycophr. p. 264. Notissima autem est *Ἀργείη Ἑλένη* ex Homero *Iliad. β'.* 161. 177. *γ'.* 458. *Odyss. δ'.* 296. Cf. *Eustath.* ad Odyss. *δ'.* 174. p. 1490, 56. edit. Rom. (T. I. p. 158, 16. edit. Lips.) *ἰστέον δὲ ὅτι Ἄργος κἀνταῦθά φησιν ἢ τὴν Πελοπόννησον, ἢ καὶ τὴν ὑπὸ τῷ Μενελάῳ χώραν· ὅθεν καὶ Ἑλένη Ἀργεία ἔν τε Ἰλιάδι καὶ μετ' ὀλίγα δέ, ἡ ἄλλως μὲν Λάκαινα, κατὰ δὲ τὸ ὅλον Πελοποννησία.* — 851. *τριάνορος κόρης*]

— *καὶ τὰς φώκας* Par. A. *τὰς χαμαὶ κοιμωμένας φώκας* Par. B. *Νείλου — χαμαικοιτεῖς* Par. C.

849. *Κοίτας δυσώδεις — τοῖς κήτεσι εὐναζόμενος* Par. A. *βρωμώδους· ἡ γὰρ φώκη βρωμεῖ — συγκοιταζόμενος, ὅτι ἔμελλε δηλαδὴ κρατῆσαι τὸν Πρωτέα πρὸς τὸ μαθεῖν πάντα καθ' ἑαυτόν* Par. C. *ὄζουσι φώκαις* Pal. 40. 850. *Καὶ πάντα καρτερήσει ἕνεκα τῆς Ἑλένης* Par. A. *ὑπομείνῃ — τῆς Ἑλένης* Vind. II. *Ἰωνικῶς* (ad *εἵνεκ'*) Pal. 40.

851. *Διότι ἄῤῥενα οὐκ ἔτεκεν· τῆς*

*ἥξει δ' ἀλήτης εἰς Ἰαπύγων στρατόν,*
*καὶ δῶρ' ἀνάψει παρθένῳ Σκυλητρίᾳ,*
*Ταμάσιον κρατῆρα καὶ βοάγριον,*

Similiter *Nonnus* Dionys. I, 51. *κούρη ἐπιβήτωρ.* XL, 15. *Χειροβίῃ ῥηξήνορι.* et XLI, 331. *εὐήνορι πάτρῃ.* — 852. *στρατόν*] *Onofrio Gargiulli* p. 56. „*εἰς Ἰαπύγων στρατὸν* ha il testo. Da queste parole il Cantero prende motivo di dire, che Menelao, dopo esser giunto nella Japigia, *devicto Apulorum exercitu, Minervae Spoliatrici dicabit donaria.* Menelao, che *ἀλήτης*, errante, approdò alle coste della Iapigia, non venne a muover guerra agli abitanti di quel paese, dove certamente non fondò alcuna colonia. Se offrì doni a Minerva, non furono spoglie tolte ai Puglesi da lui non provocati, nè vinti. Non regge dunque l'osservazione del Cantero: e le parole *Ἰαπύγων στρατὸν* dinotano soltanto la nazione de' Iapigi agguerrita. La frase usata dal nostro poeta è una imitazione di Eschilo, presso cui Prometeo così parla alla figlia d'Inaco: *ἔνθ' Ἀμαζόνων στρατὸν ἥξεις. Esch. Προμ. δεσμ.* v. 722." (*Aesch.* Prom. v. 725. (Well.) 748. (Blomf.)) Apud seriores poetas significat quamvis turbam ac multitudinem; vid. *Nonn.* I. 187. *ὀφίων σκολιὸν στρατόν.* ibique v. 227. *στρατὸς αἰόλος*, *turba fulgens*, de sideribus dictum est. — 853. *Σκυλητρίᾳ*] *Σκυλευτρίᾳ* Pal. 40. Reliqui libri et Impressi omnes recte vulgatam tuentur. Cf. *Eustath.* ad Iliad. *κ'*. 460. p. 818, 26. edit. Rom. (T. II. p. 355, 33. edit. Lips.) *τὸ δὲ ληΐτιδι ἴσως μὲν ὅμοιόν ἐστι τῇ ἀγελείᾳ, εἴπερ ἐκείνη γίνεται παρὰ τὸ ἄγειν λείαν· ἧς μέρος καὶ τὰ λάφυρα εἶτουν* (corr. *ἤγουν*) *σκῦλα, ἐξ ὧν σκυλήτρια παρὰ Λυκόφρονι Ἀθηνᾶ.* Et ad Iliad. *π'*. 500. p. 1072, 64. edit. Rom. (T. III. p. 339, 44. edit. Lips.) *ἰστέον δὲ ὅτι, ὥσπερ διχῶς λέγεται συλεύειν καὶ συλᾶν, οὕτω καὶ τὸ ἐκ τοῦ σκύλου. καὶ τὸ μὲν σκυλεύειν κοινόν· φαίνεται δὲ εἶναι καὶ σκυλῶ σκυλήσω, ἐξ οὗ καὶ ἡ σκυλήτρια.*

854. *Ταμάσιον*] *Ταμάσιον* Par. L. Vit. I. Ciz. et Rehd. Locus neque emendatione neque etiam, cum poeta hanc brevis syllabae producendae licentiam in nomine proprio sibi sumserit, ulla alia excusatione indiget. Non enim adducor vulgata lectione *Ταμασσὸς* apud *Ptolem.* V. 14. et *Strab.* XIV. p. 684. (T. V. p. 748. edit. Tzsch.) ut h. l. *Ταμάσσιον* contra omnes libros scribendum existimem. Saepissime enim hoc geminatum σ̄ librariis debetur. Vid. Scholia nostra min. et *Eustath.* ad Odyss. *α'*. 184. p. 1409, 15. edit. Rom. (T. I. p. 46, 33. edit. Lips.) *τὴν μέντοι ἐν Κύπρῳ Τεμέσην Τάμασον ἀξιοῦσι διὰ τοῦ ᾱ οἱ παλαιοὶ λέγεσθαι· ἀφ' ἧς καὶ παρὰ Λυκόφρονι ὁ Ταμάσιος κρατήρ.*

*πολυάνορος καὶ πολυάνδρου, ἤγουν πολλοὺς ἄνδρας ἐχούσης Ἑλένης· πεντάλεκτρος γὰρ γέγονεν· ἡ τῆς τρεῖς μόνους· ὁ γὰρ Θησεὺς οὐκ ἔγνω αὐτὴν, παῖδα οὖσαν· καὶ ὁ Ἀχιλλεὺς κατ' ὄναρ μόνον αὐτῇ ἐμίγη· οἵτινες οὐκ ἂν εἶεν αὐτῆς ἄνδρες κυρίως, εἰ μὴ Μενέλαος καὶ Πάρις καὶ Δηΐφοβος* Par. A. *τῆς γεννησάσης θηλείας καὶ οὐκ ἄῤῥενας — πολυάνδρου, εὐμόρφου* Par. C. *Ἑρμιόνην τεκούσης — καὶ πολυάνδρου, ἤγουν εὐμόρφου* Pal. 40. 852. *Παραγενήσεται πλανήτης εἰς τοὺς Ἰάπυγας· ἔστι δὲ ἔθνος Ἰταλίας, οἱ Καλαβροὶ* Par. A. *Καλαβρῶν — ὄχλον* Par. C. 853. *Καὶ δῶρα δώσει καὶ ἀναθήσει τῇ Ἀθηνᾷ — διὰ τὰ ἐν πολέμοις σκῦλα* Par. A. *ἀναθήσει — ποθητικῇ* Par. C. *καθιερώσει τῇ σκυλευτικῇ Ἀθηνᾷ* Vind. II.

854. *Ἀπὸ Ταμάσου, πόλεως Κύπρου· ἡ δὲ εὐθεῖά ἐστι Τάμασος — καὶ ἀσπίδα* Par. A. *πόλις Καλαβρίδος· χαλκοφόρος καὶ ἀριστόχαλκος ἡ Τάμασος* Par. B. *ἀπὸ τῆς Τεμέσης πόλεως Καλαβρίας, ἔνθα χαλκὸς ἄριστος — σκεῦος χαλκοῦν, καὶ τὸ σάκος, τὴν ἀσπίδα τὴν ἑαυτοῦ* Par. C. *ἤγουν ἀπὸ Ταμασοῦ* (sic) *κατεσκευασμένον ποτήριον — ἀσπίδα* Vind. II. *καθαρόν* (fort. *Καλαβρικόν*) Pal. 40.

*καὶ τὰς δάμαρτος ἀσκέρας εὐμαρίδας.*
*ἥξει δὲ Σῖριν καὶ Λακινίου μυχούς,*
*ἐν οἷσι πόρτις ὄρχατον τεύξει θεᾷ*
*Ὁπλοσμίᾳ φυτοῖσιν ἐξησκημένον.*
*γυναιξὶ δ' ἔσται τεθμὸς ἐγχώροις, ἀεὶ*
*πενθεῖν τὸν εἰνάπηχυν Αἰακοῦ τρίτον*

855. *τάς*] *τᾶς* Vit. III. — *ἀσκέρας*] *Pollux* Onom. VII. 85. p. 748. *ἀσκέραι, ὑπόδημα λάσιον, χειμῶνι χρήσιμον.* quae explicat *Hemsterhusius* ad Polluc. X. 50. p. 1204. *Suidas* et *Lex. Seguer.* p. 151, 30. *ἀσκέραι· ὑποδήματα Ἀττικά.* quod certe non erat ex Eustathio sollicitandum (ad Odyss. ε'. 44. p. 1522, 12. edit. Rom. T. I. p. 197, 32. edit. Lips.) ubi ita est interpungendum: *ἀρβύλαι, αἱ καὶ ἀρβυλίδες. ἀσκέραι. Περσικαί, ὧν χρῆσις καὶ παρὰ τῷ Κωμικῷ.* (vid. Aristoph. Nub. 151. ibiq. Schol.) De accentu vocis vid. *Arcad.* de Accent. p. 101, 3. *τὰ εἰς ρα μακροκατάληκτα τρισύλλαβα παραληγόμενα τῷ ε μονογενῆ βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη· ἥμερα, ἄσκερα, εἶδος ὑποδήματος, διφθέρα, λακέρα.* — *εὐμαρίδας*] Vid. *Muelleri* Annotat. ad h. l. et *Blomf.* ad Aesch. Pers. v. 666. p. 62. edit. Lips. — 856. *δέ*] *δ' ἐς* Par. B. Rehd. in marg. et Edit. Ald. *δὲ* (σ superscr.) Par. A. vitii origo neminem latebit. — *Σῖριν*] Sic Par. A. Neap. III. Vit. II. et Pal. 40. Reliqui libri et Editt. omnes, praeter *Reich.*, *Σίριν.* Vid. *Athen* XII. 523, c et d. ubi novissimus editor *Σῖριν* correxit. *Strabo* VI. p 264. (T. II. p. 245. edit. Tzsch.) *Steph.* Byz. v. *Πολίειον* et *Σῖρις.* Etym. M. p. 714, 11. et Eustath. ad *Dion. Perieg.* v. 223. p. 128, 12. edit. Bernh. — *Λακινίου*] *Λικινίου* Par. B. *Λακινίους* *Steph. Byz.* Lycophronis verba afferens: *Λακίνιον, ὄρος Κρότωνος· Λυκόφρων· καὶ Λακινίους μυχούς.* ubi Codd. Par. 1412. et 1413. vitiosius etiam *Λακωνίους* exhibent. Vid. *Theocr.* Id. IV. 33. ibiq. Schol. *Strabo* VI. p. 261. (T. II. p. 239. edit. Tzsch.) *Etym. M.* p. 555, 17.

857. *ὄρχατον*] Lucus Iunoni sacer, teste Livio XXIV, 3. quem locum iam a Muellero allatum vidimus: „*Sex millia aberat ab urbe nobili* (Crotone) *templum — ipsa urbe erat nobilius — Laciniae Iunonis, sanctum omnibus circa populis. Lucus ibi, frequenti silva et proceris abietis arboribus septus, laeta in medio pascua habuit, ubi omnis generis sacrum Deae pascebatur pecus sine ullo pastore.*" Templum Iunonis Laciniae commemorant *Dionys.* *Perieg.* v. 371. *Paus.* VI. 13, 1. aliique, quorum testimonia diligentissime collegit *Ruperti* Comment. in Liv. Vol. I. p. 954. — 858. *φυτοῖσιν*] *φοιτοῖσιν* Par. G. Vind. IV. Vit. III.

859. *γυναιξὶ δ'*] *γυναιξί τ'* Rehd. et Edit. Ald. — 860. *πενθεῖν*] *ποθεῖν* Par. K. — *εἰνάπηχυν*] *εἰννάπηχυν* Vind. II. Vit. II. *εἰννάπηχυν*

855. *Καὶ τὰς τῆς γαμετῆς· ἀσκέραι δὲ εἴδη ὑποδημάτων — τὰς δυσχερῶς ποιηθείσας, κατ' ἀντίφρασιν* Par. A. *καλτζούνια, ἐξάμιτα — τὰς ἀραρυίας, εὐαρμόστους* Par. C. *ἤγουν τῆς Ἑλένης ὑποδήματα εὔκολα — τὰς εὐμαρῶς καὶ εὐκόλως ὑποδυομένας* Vind. II. *ἀσκέρα εἶδος ὑποδημάτων — καλῶς ὑποδυομένας* Pal. 40. 856. *Παραγενήσεται εἰς Σῖριν· πόλις Μακεδονίας, καὶ ποταμὸς Ἰταλίας — ἀκρωτηρίου Κρότωνος* Par. A. *πόλις τῆς Ἰταλίας, νῦν Πόλιον* (leg. *Πολίειον*) *— ἀκρωτηρίου τοῦ Κροτωνιάτου — ἐνδοτάτους τόπους* Par. C. 857. *Ἐν οἷς ἡ Θέτις κῆπον κατασκευάσει θεᾷ, τῇ Ἥρᾳ* Par. A. *τόποις τῆς Κρότωνος — ἡ Θέτις φυτεύσει* Par. C. *ἡ Θέτις κῆπον, στίχον, τάξιν ἀναθήσει τῇ Ἥρᾳ* Vind. II. 858. *Φυτοῖς ἐξειργασμένον* Par. A. *πολεμικῇ — κεκαλλωπισμένον* Par. C. *ἐπίθετον Ἥρας — δένδροις κεκοσμημένον, τὸν κῆπον λέγει* Vind. II. 859. *Ταῖς δὲ γυναιξὶν ἔσται νόμος ταῖς ἐγχωρίοις ἀεί* Par. A. *νόμος, ἐκ τοῦ τέθειμαι* Vind. II. 860. *Πενθεῖν τὸν ἐννέα*

*καὶ Δωρίδος, πρηστῆρα δαΐου μάχης,*
*καὶ μήτε χρυσῷ φαιδρὰ καλλύνειν ῥέθη,*
*μήθ' ἁβροπήνους ἀμφιβάλλεσθαι πέπλους*
*κάλχῃ φορυκτούς, οὕνεκεν θεᾷ θεὸς*

Par. G. Vind. IV. Vit. III. *Canterus*: „Novemcubitalem intellige Achillem, Thetidis filium, ab Aeaco Pelei patre et Doride Thetidis matre ortum. Quin etiam Eleae matronae, primis ludorum initiis, inter ceteros, quos Achilli habebant honores, solenni ritu pectus plangebant; testis *Pausan*. Eliac. *β*." (VI. 23, 3.) — 861. *δαΐου*] Sic libri h. l. omnes, quos infra v. 1327. in lectione *δηΐας* non minus concordes invenies. De discrimine significationis vid. *Schol.* ad Soph. Ai. 783. (771. Herm.) *δάϊον· κοινῶς τὸ πολέμιον· Ἀττικῶς δὲ τὸ δύστηνον.* et ibidem *Hermanni* adnotationem: „*δαΐα misera.* Hoc significatu haec vox etiam in iambis Doricam formam habet; sed ubi hostem notat, communi forma *δήϊος* dicitur." Ergo fortasse h. l. vertendum: *luctuosae pugnae.* Adde *Blomf.* Gloss. ad Aesch. Prom. 360. p. 113. edit. Lips.

862. *καλλύνειν*] *καλύνειν* Vit I. Ciz. *καλυνεῖν* Par. B. — *ῥέθη*] *ῥέθει* Par. A. — 863. *ἁβροπήνους*] *ἁβροπίνους* Vind. IV. Vit. III. — *ἀμφιβάλλεσθαι*] *ἀμφιβάλεσθαι* Vit. I. et Ciz. ubi accentus scribarum errorem indicat. *ἀμφιβαλέσθαι* duplici accentu Vind. IV. et Vit. III. Recte autem Vit. II. *ἀμφιβάλλεσθαι*. Ergo non satis accurate *Muellerus*: „Codd. nostri (Vit. I. II. III. et Ciz.) *ἀμβιβαλέσθαι*, perperam." — 864. *κάλχῃ*] *χάλκῃ* Par. DGK. Vind. IV. Vit. III. *Schol.* ad Soph. Antig. v. 20. *κάλχη ἐστὶν ὁ κόχλος τῆς πορφύρας, ἥτις ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἀνιοῦσα βάπτει τὴν καλλίστην πορφύραν.* *Etym. M.* 486, 31. *ἢ παρὰ τὸ κάλχη, ὃ σημαίνει τὴν βοτάνην, δι' ἧς ἡ πορφύρα βάπτεται.* Cf. Interpp. ad *Hesych.* v. *κάλχη*. — *οὕνεκεν*] Sic Par. A. et Vat. 1307. optimi libri. Eandem lectionem Codd. etiam duobus aliis locis apud Lycophronem tuentur: v. 935. Par. DGK. Vat. 1307. Vind. IV. Vit. III. et v. 1187. Par. AK. et Vat. 1307. quo librorum consensu permotus non dubitavi lectionem versui aptissimam recipere, licet nescius non essem, posse etiam excusationem aliquam vulgatae lectionis excogitari. Eodem iure in Eurip. Med. 967. (995. Pors.) edidit Elmsleius: *τέκνα νυμφιδίων ἕνεκεν λεχέων.* Adde etiam quae ex solutae orationis scriptoribus protulit *Buttmannus* Gramm. graec. ampl. T. II. p. 292. sq. *οὕνεκα* Par. C. *ὅὕνεκα* (sic) Vind. II. Vit. II. De accentu vocis vid. *Max. Planud.* *περὶ Γραμμ.* p. 61, 22. *Eustath.* ad Iliad. *α'*. 11. p. 24, 15. edit. Rom. (T. I. p. 22, 2. edit. Lips.) — *θεᾷ θεός*] *θεὸς θεᾷ* Par. DEGK. Neap. I. II. Vind. II. IV. Vit. II. III. *θεῷ θεᾶς* Par. J. Vulgatam lectionem

*πήχεις ἔχοντα, τὸν Ἀχιλλέα· Αἰακοῦ γὰρ Πηλεύς, οὗ Ἀχιλλεὺς τρίτος* Par. A. *τὸν Ἀχιλλέα· θ' γὰρ εἶχε πήχεις* Par. B. *θρηνεῖν· ἤγουν τὸν ἔγγονον τοῦ Αἰακοῦ· τρίτος καὶ ἀπὸ τοῦ Αἰακοῦ, τρίτος καὶ ἀπὸ τῆς Δωρίδος* Par. C. *τὸν Ἀχιλλέα ἐννέα πηχῶν λέγει μέγεθος ἔχοντα* Vind. II.

861. *Τῆς μητρὸς Θέτιδος, ἧς Θέτις, ἧς Ἀχιλλεὺς τρίτος — ἄνεμον· Ὅμηρος διαπρήσσουσα, ἀντὶ τοῦ φυσῶσα· τῆς κοπτικῆς* Par. A. *ἤγουν ὁ ἔγγονος τῆς Δωρίδος — κεραυνόν — ἀναιρετικῆς* Par. C. *τὸν διάπυρον, τὸν σφοδρόν, καυστικόν* Vind. II.

862. *Καὶ μήτε τῷ χρυσῷ τὰ φαιδρὰ καλλωπίζειν σώματα* Par. A. *τὰ μέλη τοῦ σώματος* Vind. II.

863. *Μήτε ἁβρῶς καὶ εὐφυεῶς πεποιημένους, εὐφυεῖς περιβάλλεσθαι πέπλους* Par. A. *λαμπράς, ἤγουν ἁβρῶς καὶ εὐφυῶς πεποικιλμένους* Par. B. *σηρικούς, μεταξωτοὺς ἐνδύεσθαι — χιτῶνας* Par. C. *τρυφεροστήμονας, σηρικοὺς — δύεσθαι, καλλωπίζειν — ἱμάτια* Vind. II. *πλουσιοϋφεῖς* Pal. 40.

864. *Τῇ πορφύρᾳ βαπτοὺς ἢ πλουμαρικούς — χάριν τοῦ — τῇ θεᾷ ἡ θεός* Par. A. *πορφύρᾳ βεβαμμένους, οὗτινος χάριν*

χέρσου μέγαν στόρθυγγα δωρεῖται κτίσαι.
ἥξει δὲ ταύρου γυμνάδας κακοξένους
*ἀπ' Αἰακοῦ τε κἀπὸ Δαρδάνου γεγὼς*
*Θεσπρωτὸς ἄμφω καὶ Καναστραῖος λέων,*
*πρηνῆ θ' ὁμαίμων πάντα κυπώσας δόμον,*
*ἀναγκάσει πτήξαντας Ἀργείων πρόμους,*
*σῆναι Γαλάδρης τὸν στρατηλάτην λύκον*

1439. *εὐνάσῃ*] *εὐνάσει* Vit. I. Ciz. — 1440. *ἀπ' Αἰακοῦ*] *ἐπ' Αἰακοῦ* Par. GK. Vind. IV. Vit. III. — 1441. *Καναστραῖος*] Par. ADEFGK. Vat. 1307. Neap. I. II. III. Vind. II. IV. Vit. II. III. Pal. 40. et Tzetz. in Schol. *Χαλαστραῖος* Par. A. in marg. et Steph. Byz. v. *Χαλάστρα* p. 710. Pin. Hanc lectionem recepit Sebastianus. *Καλαστραῖος* Neap. I. in marg. *Χαλαδραῖος* Par. BCJL. Vit. I. Ciz. (Neap. II. et Vind. II. inter lin. *γρ. Χαλαδραῖος*) et Pott. utrq. *Χαραδραῖος* solus Par. G. in marg. et Editt. Ald. Basil. II. Par. II. Commel. Steph. Meurs. utrq. et Reich. *Χαλανδραῖος* Edit. Basil. I. operarum, ut videtur, errore pro *Χαλαδραῖος*. Nostra lectio et aptissima est (vid. *Apoll. Rhod.* I. 599. *Ptolem.* III. 13. *Steph. Byz.* v. *Κάναστρον*. *Scyl. Peripl.* Maced. p. 133. edit. Hoesch.) et librorum praesidio firmissima. Fortasse inest etiam allusio ad fabulosos illius regionis Gigantes. Fons interpolationis in v. 1444. quaerendus est. — *λέων*] *λεώς* Par. L. Vit. I. Ciz.

1442. *ὁμαίμων*] *Onofrio Gargiulli* p. 99. „Per congiunti di Alessandro intendo il Cantero i Persiani, e così soggiunge: *Alexander enim a Perseo per Herculem, non minus quam Persae, ducebat originem.* Ma sembra doversi restringere nome di congiunti alla sola stirpe di Dario.“ Aliter hunc locum intellexit Vir doctus, e cuius Notis Mss. supra ad v. 1229. aliquid delibavimus: „*Hic versus de Thebanis intelligendus, non de Persis.*“ — 1443. *Ἀργείων*] Neap. II. et Vit. II. in margine: *γρ. Ἀκταίων.* Eandem lectionem commemorat etiam Tzetzes in Comment. — 1444. *Γαλάδρης*] Sic exhibent Par. AGK. Vat. 1307. Neap. II. Vind. II. Vit. II. III. et Steph. Byz. v. *Γαλάδραι* p. 195. Pin. *Χαλάδρης* Par. CF. Neap. I. III. Vind. IV. et Editt. Basil. I. et Sebast. *Χαλάδρας* Par. JL. Vit. I. Ciz. *Χαράδρης* Par. BD. Pal. 40. et Editt. Ald. Basil. II. Par. II. Commel. Steph. Meurs. utrq. Pott. utrq. et Reich. *Χαράδρης* [a]

*ἐν ταῖς ἀρχαῖς, δηλονότι τῆς θαλάσσης, μαχομένων* Vind. II. *βασιλείαις* Pal. 40. 1438. *Οἱ δὲ ἐν τοῖς μεταφρένοις, τοῖς ἀρουμένοις ὑπὸ βοῶν* Par. A. *ταῖς ἀρούραις* Par. C. *ἀντὶ τοῦ, ἐν πεδίοις· ἀπὸ τῆς βοῶν ἀροτριώσεως* Vind. II. *γῆς, τῆς ὑπὸ βοῶν στρεφομένης* Pal. 40.

1439. *Ἕως ἂν ὁ Ἀλέξανδρος, ὁ Μακεδών, καταπαύσῃ τὸν πόλεμον* (in marg. *περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος*) Par. A. *ὁ Μακεδὼν Ἀλέξανδρος — κατακοιμήσει* Vind. II.

1440. *Ἀπὸ Αἰακοῦ καὶ ἀπὸ Δαρδάνου γεγονώς· ὅ ἐστιν, τὸ γένος ἔχων* Par. A. *τὸ γένος ἔχων* Vind. II.

1441. *Ἄμφω, Ἠπειρώτης καὶ Μακεδών· γρ. Χαλαστραῖος ἢ Γαλαστραῖος* Par. A. *Ἠπειρώτης· ἐν γὰρ Ἠπείρῳ οἱ Θεσπρωτοί· γρ. Χαλαδραῖος* Vind. II. *ἤγουν Χαραδραῖος· Χαράδρα πόλις Μακεδονίας, ἀφ' ἧς τὴν ὅλην Μακεδονίαν δηλοῖ, ἣν μέλλει δηλῶσαι κάτωθεν* Pal. 40.

1442. *Πρὶν πάντα ὁ ἀδελφὸς Ξέρξης· γρ. πρὶν ἦνθ'* (leg. *πρηνῆ θ'*) — *ταράξας, κλίνας τὸν οἶκον* Par. A. *ἀπὸ Περσέως γὰρ ὁ Ἀλέξανδρος — ταράξας* Vind. II. 1443. *Ἀναγκάσει φοβηθέντας τοὺς τῶν Ἑλλήνων προμάχους* Par. A. *τῶν Περσῶν. γρ. Ἀκταίων* Vind. II. *φοβηθέντας· γρ. Ἀκταίων* Pal. 40. 1444. *Κολακεῦσαι, ὑποταγῆναι — τῆς Μακεδονίας — τὸν Ἀλέξανδρον λέγει* Par. A. *κολακεῦσαι — τῆς Μακεδονίας — τὸν Ἀλέξ-*

*καὶ σκῆπτρ' ὀρέξαι τῆς πάλαι μοναρχίας.*
*ᾧ δὴ μεθ' ἕκτην γένναν αὐθαίμων ἐμὸς*
*εἷς τις παλαιστής, συμβαλὼν ἀλκὴν δορὸς*
*πόντου τε καὶ γῆς κεὶς διαλλαγὰς μολών,*
*πρέσβιστος ἐν φίλοισιν ὑμνηθήσεται,*
*σκύλων ἀπαρχὰς τὰς δορικτήτους λαβών.*

Rehd. *Λαγάδορης* Par. E. Similes scribarum errores vid. supra ad v. 1342. — 1445. *ᾧ δὴ μεθ' ἕκτην γένναν*] De hoc implicatissimo loco vid. *Laur. Begeri* Examen Dubiorum quorundam p. 14. *I. C. Wolfium* ad Theoph. Antioch. II. 7. p. 98. et p. 410 sqq. *Comment.* Acad. Petropol. an. 1735. Tom. IV. p. 255. et *Niebuhrii* Opuscul. Hist. et Phil. T. I. p. 443 sqq. Equidem sententiam meam in Commentariis, qui tertiam huius editionis partem constituent, explicabo. — 1447. *εἴ τις* Par. A. — *ἀκὴν δορός* Vind. IV. Vid. *Eurip.* Phoen. 1381. (Pors.) Heracl. 761. — 1448. *κεἰς*] Par. ABCDFGK. Neap. I. II. III. Vind. II. IV. Vit. II. III. Pal. 40. Rehd. et Editt. Ald. Basil. I. cum reliquis, excepta Reich., omnibus. *εἰς* Par. EJL. Vit. I. Ciz. et Edit. Reich. et sic e coniectura Scaligeri scribendum videbatur Cantero: „Pro *κεἰς διαλλαγάς* lego cum Scaligero *εἰς διαλλαγάς·* ac similis est in Euripide loquendi modus, quum ad nutricem sic ait Hippolytus: (v. 652.) *ὡς καὶ σύ γ' ἡμῖν πατρὸς, ὦ κακὸν κάρα,* || *λέκτρων ἀθίκτων ἦλθες εἰς συναλλαγάς.*" Vulgata tamen optime sese habet. *μολών*] *μολῶν* Neap. I. II. Vind. II. et Editt. Basil. I. Steph. et Pott. utrq. — 1449. *ὑμνησθήσεται* Par. A. 1450. *σκύλων ἀπαρχάς*] *σκύλων τ'* Par. ADEGK. Vind. II. IV. Vit. II. III. *σκύλων γ'* Neap. III. Durinsculum videtur, haec ita prioribus participiis annectere. Similiter *Euripides* in Phoenissis 871. (Pors.) *λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.* — *δορικτήτους*] Par. ABCF. Vit. I. II. Ciz. Pal. 40. *δορυκτήτους* Par. L. Reliqui libri et editt. omnes *δορυκτήτους.* In hoc versu finitur Cod. Neap. II.

*ανδρον* Vind. II. 1445. *Καὶ τὰ σκῆπτρα ἐξαπλῶσαι τῆς ποτε μονοκρατορίας* Par. A. *δοῦναι — μονοκρατορίας* Par. C. 1446. *Ὧτινι δὴ μετὰ τὴν ἕκτην γενεάν· περὶ Ταρπινίου τοῦ Ῥωμαίου — ὁ ἀδελφὸς ὁ ἐμός* Par. A. *ἀδελφός μου, φησί, μετὰ ἓξ γενεάς, ἀντὶ τοῦ, ἐκ πολλοῦ συγγενής· λέγει δὲ τὸν Ταρπίνιον· οὗτος γὰρ ἀπὸ Ῥωμύλου ἕκτος ἐστὶν οὕτως· Ῥωμύλος· Μύαλος Πομπήϊος Δάλιος· Ὀστίνιος Ἄγγυς· Μάρκος Καρπίνιος· Πρίσκος Ἐρπίνιος· Τύλλιος Ταρπίνιος· ἕκαστος γὰρ αὐτῶν δυσὶ καὶ πλείοσι ἐχρῶντο ὀνόμασιν. ἕκτος οὖν ὁ Ταρπίνιος ἀπὸ Ῥωμύλου· ὁ δὲ Ῥωμύλος, ὥς φασι, Αἰνείου ἦν υἱός. Ἄλλως· Ῥωμαῖοι καὶ Μακεδόνες ἔσχον μετ' ἀλλήλων πόλεμον, καὶ πολλάκις καὶ ἐν χέρσῳ καὶ ἐν θαλάσσῃ ἐπολέμησαν· ὕστερον μέντοι συνέβη κρατηθῆναι τὸν τῶν Ῥωμαίων στρατηγὸν ὑπὸ Μακεδόνων ζῶντα· καὶ πάλιν Ἀλέξανδρόν τινα συγγενῆ Ἀλεξάνδρου ἀναιρεθῆναι ὑπὸ Ῥωμαίων, καὶ τοῦ σώματος αὐτοῦ κρατουμένου ἠμείψαντο· καὶ οἱ μὲν Ῥωμαῖοι ἀπέδοντο τὸν νεκρὸν τοῦ Ἀλεξάνδρου, καὶ οἱ Μακεδόνες τὸν στρατηγόν· καὶ ἐκ τούτου ἐγένετο εἰρήνη* Vat. 1307. *Ἀλεξάνδρῳ, ἢ ἄλλῳ μετ' αὐτὸν ὁμωνύμῳ — συγγενής* Pal. 40. 1447. *Εἷς τις μονόμαχος συμβαλὼν μάχην δόρατος* Par. A. *ὁ Ταρπίνιος μονόμαχος — μονομαχῶν μάχην* Vind. II.

1448. *Γῆς τε καὶ θαλάσσης, καὶ παραγενόμενος εἰς διαλλαγὰς εἰρήνης* Par. A. *εἰς εἰρήνην* Par. C. — *εἶτα δέ* Pal. 40. 1449. *Ἔντιμος πρεσβευτής, ἄγγελος ἐν τοῖς φίλοις κηρυχθήσεται* Par. A. *μέγας — ἑαυτοῦ ἀρχουσιν* Pal. 40. 1450. *Τὰς τῶν λαφύρων ἀπαρχὰς λαβών, τὰς ἐκ δόρατος κτηθείσας* Par. A.

*Τί μακρὰ τλήμων εἰς ἀνηκόους πέτρας,*
*εἰς κῦμα κωφόν, εἰς νάπας δασπλήτιδας*
*βάζω, κενὸν ψάλλουσα μάστακος κρότον;*
*πίστιν γὰρ ἡμῶν Λεψιεὺς ἐνόσφισε,*
*ψευδηγόροις φήμαισιν ἐγχρίσας ἔπη,*
*καὶ θεσφάτων πρόμαντιν ἀψευδῆ φρόνιν,*
*λέκτρων στερηθείς, ὧν ἐκάλχαινεν τυχεῖν.*

1452. *εἰς κῦμα κωφόν*] *Nonn.* Dion. I. 128. *κωφὸν ὕδωρ, ῥηγμῖνες ἀναυδέες.* — *εἰς* — *ἢ* Par. AB. Rehd. et Edit. Ald. *ἢ* — *ἢ* Vat. 1307. et Neap. III. Reliqui omnes *εἰς* — *εἰς.* — *νάπας δασπλήτιδας*] *ingentes horrendosque saltus.* Haec optime locum depingunt, ubi infelicissima virgo ex hominum consortione relegata vaticinabatur. Turrim enim intelligimus ita fuisse collocatam, ut ab altera parte mare eiusque promontoria, ab altera autem saltuosa Idae iuga prospiceret. *δασπλήτιδας* Par. A. Neap. III. et Seld. apud Potterum. *δυςπλήτιδας* reliquorum est lectio, quam etiam Impressi sequuntur. *δυςπλητίδας* Vit. III. et Rehd. *δυςπλήτιιδας* Par. L. Ciz. Utramqne explicat *Tzetzes: δυςπλήτιδες, αἱ δυςκόλως πληττόμεναι· δασπλήτιδες δὲ αἱ καταπληκτικαί.* Quorum alterum perquam ineptum est. Vid. etiam Schol. ad *Nicandr.* Ther. 609. De voce *δασπλής* egerunt *Ruhnkenius* Epist. crit. p. 155. sq. (p. 204. edit- Lips.), et *Meinekius* ad *Euphor.* fragm. p. 121. sq. cui tamen dubitanti, an apud poetas Nonno antiquiores haec vox etiam ad res inanimatas translata inveniatur, hic Lycophronis locus videtur non succurrisse. — 1453. *βάζω*] *βαύζω* Par. A. — 1454. *γὰρ ἡμῶν*] *Fidem meam*, inquit, *Apollo abstulit, fictis fabellis et verba mea et fatidicam mentem calumniatus.* Genuinam lectionem e Codd. suis iam restituit Sebastianus. *γὰρ ἡμῶν* Par. ABCEFJL. Vat. 1307. Neap. I. III. Vind. II. Vit. I. II. Ciz. Pal. 40. et Editt. Basil. I. et Sebast. *γὰρ ὑμῶν* Par. DGK. Vind. IV. Vit. III. *γὰρ ἐμῶν* Rehd. Lectionem *λόγων γάρ* Aldus invexit, locum ita exhibens: *πίστιν γὰρ λόγων γάρ*, ubi fortasse non temere coniicias, duas Codicis lectiones, alteram in textu, alteram inter lin. positam, coaluisse. Aldinam sequutae sunt reliquae omnes. — *ἐνόσφισεν* Neap. III. — 1455. *ψευδηγόροις*] Sic Par. ADEGK. Neap. I. III. Vind. II. IV. Vit. II. III. Pal. 40. Ms. Canteri et Editt. Pott. utrq. et Sebast. *ψευδηρίοις* Par. ACFJL. Vit. I. Ciz. Rehd. et Editt. Ald. Basil. II. Par. II. Commel. Steph. Meurs. utrq. et Reich. — 1457. *ἐκάλ-*

1451. *Ἐπίλογος. Τί μακρά, ἐγὼ ἡ ταλαίπωρος, εἰς ἀνηκόους λίθους* Par. A. *δυςαισθήτους* Pal. 40.

1452. *Εἰς κῦμα ἀναίσθητον, ἢ εἰς θαλασσίας πέτρας, τὰς ἄγαν πληττομένας ὑπὸ τῶν κυμάτων* Par. A. *τὰς λίαν πληττομένας· δυςπλήτιδες δέ, αἱ καταπληκτικαί* Vind. II.

1453. *Μάτην φθέγγομαι, μάταιον κινοῦσα τοῦ στόματος ἢ τοῦ χείλους τὸν ἦχον, τὸν ψόφον* Par. A. *κινοῦσα τοῦ στόματος ἦχον* Vind. II. *λαλίαν* Pal. 40. 1454. *Τὴν γὰρ πίστιν ἡμῶν — ἐπώνυμον· ὁ Ἀπόλλων, ἀπεχώρισε* Par. A. *ἀπὸ κοινοῦ τὸ ἐγχρίσας· τὸ δὲ ἑξῆς, ἐν ψευδηγόροις φήμαις τοὺς λόγους καὶ τὴν ἀψευδῆ φρόνησιν τῶν μαντευμάτων ἐγχρίσας· φήμην γὰρ διήγειρεν ὁ Ἀπόλλων, ὅτι Κασσάνδρα οὐκ ἐστὶ μάντις, ἀλλὰ μαινομένη μάτην λέγει* Vat. 1307. *ἐπίθετον Ἀπόλλωνος — ἐχώρισεν* Vind. II. *ὑπόληψιν — Ἀπόλλων, ὁ κεκαλυμμένα λέγων* Pal. 40. 1455. *Ἐμφράξας τοὺς λόγους* Par. A. *ψευδέσι, ἐμφράξας λόγους* Vind. II. *ψευδέσι λογίοις — ἐμβαλών* Pal. 40. 1456. *Καὶ τῶν θείων προῤῥήσεων πρόμαντιν, ἀληθῆ φρόνησιν, βουλήν, διάνοιαν* Par. A. *τῶν θείων προῤῥήσεων φρόνησιν* Vind. II. *μαντευμάτων προγνωστικὴν φρόνησιν* Pal. 40. 1457. *Τῆς κοίτης στερηθείς, ἧς ἐπεθύμει, ἐμε-*

*θήσει δ' ἀληθῆ. σὺν κακῷ δέ τις μαθών,*
*ὅτ' οὐδὲν ἔσται μῆχος ὠφελεῖν πάτραν,*
*τὴν φοιβόληπτον αἰνέσει χελιδόνα.*
*Τόσσ' ἠγόρευε, καὶ παλίσσυτος ποσὶν*
*ἔβαινεν εἱρκτῆς ἐντός. ἐν δὲ καρδίᾳ*
*Σειρῆνος ἐστέναξε λοίσθιον μέλος,*

*χαινεν*] *ἐκάλχανεν* Neap. III. et Rhed. *ἐκάλχανε* Par. BCF. *ἐγάλκαινε* Par. EG. Vind. IV. Vit. III. et Ms. Canteri. *ἐκάλχαινε* Par. AL. Neap. I. Vind. II. Vit. I. II. Ciz. Pal. 40. et Editt. Basil. I. et Sebast. Reliqui *ἐκάλχαινεν*, ut etiam Editt. Ald. et Basil. II. cum reliquis. *καλχαίνειν* de animo dicitur curis aut affectu aliquo vehementer perturbato. Vid. Schol. ad *Soph. Ant.* 20. *Hesych.* h. v. ibiq. interpp. Propria significatione legitur apud *Nicandr.* Ther. 641. — 1458. *θήσει δ'*] *θήσει τ'* Vind, IV. Vit. III. — 1459. *ἔσται*] Sic ex meis solus Par. A. et Editt. Basil. II. Par. II. Commel. Meurs. utrq. Reich. et Sebast. *ἔστι* Par. BCEFIL. Neap. I. III. Vind. II. Vit. I. II. Ciz. Pal. 40. Rehd. et Editt. Ald. Basil. I. Steph. et Pott. utrq. *πατρὰν*] *πάτρα* Par. A. *πάτραν* Vit. II. Desideratur hic versus in Par. DGK. Vind. IV. Vit. III. 1460. *φοιβόληπτον*] *νυμφόληπτον* Par. DGK. Vind. IV. Vit III. — *αἰνέσαι* Par. A. — *χελιδόνα*] *Schol.* ad Aristoph. Ran. 93. *χελιδόνων μουσεῖα· ἀντὶ τοῦ βάρβαρα καὶ ἀσύνετα. καὶ γὰρ παροιμία ἐπὶ τῶν βαρβάρων καὶ πολυλόγων καὶ ἐπαχθῶν ἐστι ταττομένη. τοιοῦτον γὰρ τὸ χελιδόνων γένος, πλέον διὰ τὸ πολὺ τῆς ᾠδῆς ἀνιῶν τοὺς ἀκούοντας ἢ διὰ τὸ μέλος εὐφραῖνον.* *Hesych.* v. *χελιδόσι. τοὺς βαρβάρους χελιδόσιν ἀπεικάζουσι διὰ τὴν ἀσύνθετον λαλίαν.* *Eustath.* ad Odyss. ᾳ. 411. p. 1914, 31. edit. Rom. (T. II. p. 265. 40. edit. Lips.) Vid. etiam *Meurs.* ad h. l. et *Blomf.* Glossar. ad Aesch. Agam. 1017. p. 234. edit. Lips.) — 1464. *Τόσσ'*] Par. ABCDEGK. Vat. 1307. Neap. I. III. Vind. II. IV. Vit. II. III. Pal. 40. et Editt. Basil. I. et Sebast. — *τόσ'* Par. FJL. Vit. I. Ciz. et Editt. Ald. Basil. II. cum reliquis. — *ἠγόρευε*] Par. ABCDFGK. Vind. II. IV. Vit. II. III. Pal. 40. Rehd. et Editt. praeter Sebast. omnes. *ἠγόρευσε* Par. EJL. Vit. I. Ciz. et Edit. Sebast. Imperfectum in talibus necessario adhibetur. Vid. *Eurip.* Phoen. 1193. (Pors.) Electr. 788. Bacch. 1074. (Herm.) coll. Orest. 888. Phoen. 1269. (Pors.) Cf. *Valken.* ad Herodot. III. 135. — 1462. *καρδίᾳ*] Par. BJL. Vit. I. Ciz. et Edit. Ald. cum reliquis, excepta Basil. I., omnibus. *καρδίῃ* Par. ACDEFGK. Neap. I. III. Vat. 1307. Vind. II. IV. Vit. II. III. Pal. 40. et Edit. Basil. I. — 1463. *ἐστέναξε*] *ἐστέναζε* Par. DE. Vit. II. et Edit. Basil. I. in textu, in Scholiis autem Vit. I. et Ciz. *ἐστάλαζε* Par. GK. Vind. IV. Vit. III. hic quidem in Scholiis *ἐστέναξε*, (non *ἐστέναζε*, ut Muellerus enotavit). Vulgatam multo plures et meliores libri recte tuentur. Opponitur enim hoc ultimum longis illis prioribus vaticiniis.

*ρίμνα λαβεῖν* Par. A. *συνουσιῶν — ἐπεθύμει* Par. C. *βουληθέντος γὰρ Ἀπόλλωνος συγγενέσθαι τῇ Κασσάνδρᾳ, αὕτη οὐκ ἔδωκεν ἑαυτήν· διὸ μηνιῶν ὁ Ἀπόλλων παρεσκεύασεν, ἵνα, ὅταν μαντεύηται, μηδεὶς αὐτῇ προσέχῃ, μηδὲ πιστεύηται* Vat. 1307.

1458. *Ποήσει δ' ἀψευδῆ· σὺν δεινῷ δέ τις γνούς* Par. A. *δηλονότι ὁ Πρίαμος* Par. C. *ποιήσει ὁ χρόνος — ταῦτα ὁ Πρίαμος* Pal. 40.

1459. *Ὅτε οὐδὲ μία μηχανὴ ἔσται συμβαλέσθαι τῇ πατρίδι* Par. A. *ὅτε οὐδὲ μία μηχανή* Vind. II.

1460. *Ἑαυτὴν λέγει ἡ Κασσάνδρα — τὴν τῷ Ἀπόλλωνι ἀνιερωμένην ἐπαινέσει χελιδόνα* Par. A. *τὴν τῷ θεῷ ἀφιερωσαμένην· εἱρκτῆς ἐντός, τοῦ παρθενῶνος* Par. B. *τὴν μαντικήν* Par. C. 1461. *Τοσαῦτα εἶπεν, καὶ ὀπισθόρμητος τοῖς ποσὶν* Par. A.

1462. *Ἐπέβαινεν τοῦ παρθενῶνος καὶ τῆς φυλακῆς ἔσω· ἐν δὲ τῇ ψυχῇ* Par. A. 1463. *Ἀνεστέναξε· Σει-*

*Κλάρου Μιμαλλών, ἢ Μελαγκραίρας κόπις*
*Νησοῦς θυγατρός, ἤ τι Φίκιον τέρας,*

ciniis. — *λοίσθιον μέλος*] Cassandra, dum se ex illo loco, ubi vaticinia ediderat, intus reciperet, vehementi dolore commota funesta et obscura verba furibundo eiulatu ita miscuit, ut nuncius nihil amplius, quod referre posset, dignosceret. Inde dicit, eam postremum illud lugubre Sirenaeum melos edidisse; eamque ob furorem Mimallonibus, ob horribilia et portentosa verba Sibyllae et Sphingi similem pronuntiat. Quae cum et antiquus interpres ita intellexisset et Potterus luculenta annotatione exposuisset, ecce, Sebastianus, acutius videre sibi visus, ad Tzetzae verba haec protulit: „Quis cordatus interpretationem hanc non exsibilabit? Quid enim ad Cassandram flentem atque imo corde suspiria trahentem, Sirenis dulcis et laetus cantus? Quid contra ad Sirenes lacrymae et suspiria? Nec porro spectanda quorundam opinio est, aientium, poetam hic loqui de nescio qua Sirenis se in mare praecipitantis cantione, quum praeter alia clare pateat, illa verba, *λοίσθιον μέλος*, non ad *τὸ Σειρῆνος* pertinere, sed ad Cassandram, h. e. postremo luctuosae suae cantilenae alta suspiria, dum se intus recipiebat, imo corde ducendo, *lugubrem crabronis sirenis sonitum imitantem*. Vox igitur *Σειρὴν* duplicem et plane sibi oppositam significationem habet. Principaliter et praecipue unam ex poeticis illis tribus virginibus notat; secundo et minus usitate quoddam *crabronum saevum genus*, mali omnino ominis, *ἀμυδρόν τι*, ut inquit *Eustathius* ad Odyss. *φ'*. p. 767. edit. Rom., *κλαυθμυρίζεται*· unde in proverbium cessit: *σειρὴν μὲν φίλον ἀγγέλλει, ξεῖνον δὲ μέλισσα.* vid. *Erasm.* Chil. II. Cent. 8. nr. 5. Apum generi accensent nonnulli, ut *Aelian.* Hist. An. V. 42. *Suidas* et *Hesychius.* Tzetza autem ipse hic et antea ad v. 653. non de apum genere, verum apibus similem esse sirenem scribit; sed longe melius *Aristoteles* Hist. An. IX. init. tradens, sirenem fucorum genus quoddam esse solitarium ac duplicis formae, maioris nempe et minoris. Aristoteli assentitur *Plinius* Hist. Nat. XI. 16. licet non adeo accurate: de apibus verba faciens ait sirenes et cephenes esse, quos fucos latine vocant. Interpretes graeci Vet. Test. putarunt *τὴν σειρῆνα* esse animal aut quadrupes aut volatile lugubre et ominosum, tetram et luctuosam per noctem emittens vocem, atque in dirutis versans urbibus. Sic Scholiasta graecus Isai. 34, 13. *σειρῆνας καλεῖ τὰ ἐν νυκτὶ θρηνώδη φωνὴν ἱέντα τῶν πτηνῶν, μονονουχὶ κατολολύζοντα, οἷον ἡ γλαῦξ καὶ τὰ ἐοικότα.*" — 1464. *Μιμαλλών*] *Μιμαλών* Par. G. Vind. IV. Vit. I. II. III. Ciz. Rehd. et Editt. praeter Reich. omnes. Vid. *Etym. M.* p. 588, 43. *Eustath.* ad Dion. Perieg. 444. p. 184, 11. edit. Bernh. et ad *Iliad.* *ξ*. 320. p. 989, 33. edit. Rom. (T. III. p. 231, 32. edit. Lips.) — *Μελαγκραίρας*] *Μελαγκραίας* Par. C. Vind. II. *Μελαγκρίαρας* Vit. III. *Μελαγκάρας* Vind. IV. Meursius maluit *Μελαγχραίναν.* — 1465. *Φίκιον*] Par. AJL. Vat. 1307. Neap. III. Vit. I. Ciz. *Φίκειον* Par. C. Pal. 40. et Editt. Ald. Basil. II. Par. II. Commel. Meurs. utrq. et Reich. *Σφίκειον* Par. E.

*ρῆνα δὲ αὐτὴν λέγει, διὰ τὸ τὰ μέλλοντα προειπεῖν — ἔσχατον μέλος* Par. A. 1464. *Ὄνομα τόπου Κολοφῶνος· ἡ Βάκχη — τῆς Σιβύλλης τῆς ἐπιστήμονος* Par. A. *ῥήτωρ* Par. B. *κόπις, ὁ ῥήτωρ, παρὰ τὸ κόπτειν τοῖς λόγοις, ἢ ὅτι ἔμπειρος· μελαγκραίρα δέ, παρὰ τὸ μελαίνειν τὴν φράσιν καὶ τοὺς χρησμούς· Νησὼ δέ, μήτηρ Σιβύλλης· Κλάρος δὲ Κολοφῶνος τόπος, ἀφ' οὗ καὶ Κλάριος ὁ Ἀπόλλων. Εἰκάζει ὁ ποιητὴς τὴν Κασσάνδραν Βάκχῃ τῇ ἐν Κλάρῳ, καὶ τῇ Σιβύλλῃ ἐπιστήμονι, καὶ τῇ Σφιγγί· ἡ δὲ Σφίγξ . . . αὐτὴ γὰρ αἰνιγματώδως διελέγετο, ὥσπερ καὶ ἡ Σίβυλλα· καὶ ἡ Κασσάνδρα . . . παρεβάλετο· λέγει δέ· Σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμουμένη, καθὼς προείρηται* Vat. 1307. *Ἀπόλλωνος, ὡς Βάκχη* Pal. 40. 1465. *Τῆς μητρὸς Σιβύλλης — ἢ τὸ τῆς Σφιγγὸς*

*ἑλικτὰ κωτίλλουσα δυςφράστως ἔπη.*
*ἐγὼ δὲ λοξὸν ἦλθον ἀγγέλλων, ἄναξ,*
*σοὶ τόνδε μῦθον παρθένου φοιβαστρίας,*
*ἐπεί μ᾽ ἔταξας φύλακα λαΐνου στέγης*
*καὶ πάντα φράζειν κἀναπεμπάζειν λόγον*
*ἐτητύμως ἄψοῤῥον ὤτρυνας τρόχιν.*
*δαίμων δὲ φήμας ἐς τὸ λῷον ἐκδραμεῖν*
*τεύξειεν, ὅςπερ σῶν προκήδεται θρόνων,*
*σώζων παλαιὰν Βεβρύκων παγκληρίαν.*

Neap. I. Vind. II. Vit. II. et Editt. Basil. I. Steph. Pott. utrq. et Sebast. *Σφίγκειον* Par. D. *Σφήκειον* Par. GK. Vind. IV. Vit. III. *φίλιον* Par. F. *κίφειον* Par. B. Cf. *Hesiod.* Scut. 33. ibiq. Schol. *Steph. Byz.* p. 697. Pin. *Φίκειον ὄρος Βοιωτίας· καὶ διὰ διφθόγγου, καὶ διὰ βραχέως τοῦ ῑ.* Vid. *Valcken.* ad Eurip. Phoen. 813. (p. 315. edit. Lips.) — 1466. *κωτίλλουσα*] *κωτύλλουσα* Vind. IV. Vit. III. Cf. *Etym. M.* 551, 55. Hesiodi locum, quem afferunt Schol. min., imitati sunt *Nonn.* Dion. XXXI. 72. et *Manetho* Apotel. II. 330. — 1467. *ἀγγέλλων*] Par. ABCEFJKL. Neap. I. III. Vind. II. Vit. I. II. Pal. 40. et Editt., excepta Aldina, omnes. *ἀγγέλων* Par. DG. Vind. IV. Vit. III. Ciz. Rehd. et Edit. Ald. Emendationem Valckenarii *ἀγγελῶν*, quam ad Eurip. Phoen. 1082. proposuit, nemo hodie necessariam existimabit. — 1469. *λαΐνου*] *λαΐου* Par. K. Vind. IV. Vit. III. — 1471. *ὤτρυνας*] Codd. mei miro consensu omnes *ὀτρύνας* exhibent, quod participium h. l. vix ferendum videtur. *ὄτρυνας* Editt. Ald. Basil. II. Commel. Meurs. utrq. et Reich. Reliquae *ὀτρύνας*. Correxit Potterus. — *τρόχιν*] Cf. *Aesch.* Prom. 943. (Well.) ibique Schol. *τρόχιν, ἄγγελον· ἀπὸ τοῦ τρέχειν. δηλοῖ δὲ τὸν σπουδαῖον οἰκέτην, τὸν σπουδαίως πράττοντα τὰ προςτεταγμένα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ βραδύνοντα καὶ χρονίζοντα.* — 1472. *ἐς*] *εἰς* Par. G. Vit. II. III. Vid. supra
ων
ad v. 423. — 1473. *θρόνον* Vind. IV. — 1474. Ad *Βεβρύκων* in Par. I. adscriptum: *ἐκ Βεβρύκων γὰρ κατήγετο ὁ Πρίαμος.*

*σημεῖον, τῆς ἐν Φικίῳ ὄρει διατριβούσης· τὸ δὲ Φίκιον ὄρος πλησίον τῶν Βοιωτικῶν Θηβῶν* Par. A.

1466. *Συνεστραμμένα, δυςχερῆ λέγουσα ἢ ἀπατῶσα· Ἡσίοδος* (*Ἔργ.* 344.) *αἱμυλα κωτίλλουσα — δυςκόλως, λόγους* Par. A. *αἰνιγματώδη* Pal. 40. 1467. *Ἐγὼ δὲ αἰνιγματώδη ἢ δύςκολον — παρεγενόμην, ὦ βασιλεῦ, ἀπαγγέλλων* Par. A. *λοξόν, τὸν αἰνιγματώδη καὶ μυστικόν, ὅθεν καὶ Λοξίας ὁ Ἀπόλλων, διὰ . . . λον τῶν χρησμῶν· τρόχιν δὲ τὸν ἄγγελον, παρὰ τὸ τρέχειν· οἱ δὲ τὸ ὄνομα τοῦ λέγοντος ἀγγέλου Τρόχιν θέλουσιν ἀκούειν. λείπει δὲ τὸ ἐμέ, ἀντὶ τοῦ, ἐμαυτὸν διήγειρας τοῦ ἐλθεῖν καὶ εἰπεῖν περὶ πάντων* Vat. 1307. 1468. *Σοὶ τοῦτον τὸν λόγον τῆς μαντικῆς παρθένου* Par. A. *μαντευτρίας* Par. C.

1469. *Ἐπειδή με φύλακα ἐποίησας ἢ κατέστησας τοῦ λιθίνου δώματος* Par. A. *ἀνάπαιστος* Par. C. *λιθίνου οἴκου, δόμου* Vind. II.

1470. *Καὶ πάντα λέγειν λόγον, καὶ ἀναμετρεῖν καὶ λογίζεσθαι* Par. A.

1471. *Ἀληθῶς ὀπισθόρμητον παροτρύνας — τὸν ἄγγελον· παρὰ τὸ τρέχειν* Par. A. 1472. *Ὁ δὲ θεός — νῦν τοὺς χρησμούς· εἰς τὸ ἀγαθὸν ἐκβῆναι* Par. A. et Vind. II.

1473. *Κατασκευάσει, ὅςτις δὴ φροντίζει τῆς βασιλείας* Par. A. *εἴθε εὐδοκήσειεν, κατασκευάσειεν — μεγαλῶς φροντίζει — βασίλειαν* Vind. II.

1474. *Σώζων τὴν παλαιὰν τῶν Τρώων πολυπληθίαν* Par. A. *τὴν τῶν Τρώων πόλιν, πλῆθος* Vind. II. *γενεάν* Pal. 40.

# PARAPHRASIS.

# ΠΑΡΑΦΡΑΣΙΣ.

1—27. *Λέξω τὰ πάντα νητρεκῶς, ἅ μ' ἱστορεῖς, ἀρχῆς ἀπ' ἄκρης καὶ τὰ ἑξῆς· εἴπω καὶ φράσω τὰ πάντα, ἅ μ' ἐπερωτᾷς*[1], *ἀληθῶς ἀπὸ τῆς πρώτης ἀρχῆς· ἐὰν δὲ ἐπεκτανθῇ ὁ λόγος, συγγνώμην πάρεχε, ὦ βασιλεῦ· οὐ γάρ, καθάπερ τὸ πρότερον ἥσυχος οὖσα, ἡ κόρη τῶν χρησμῶν*[2] *τὸ ποικίλον στόμα διέλυσεν· ἀλλ' ἄπειρον καὶ πολλὴν ἐκχέασα*[3] *πολύμικτον*[4] *φωνήν, ἐκ τῶν δαφνηφάγων*[5] *λαιμῶν ἐμαντεύετο φωνήν, τῆς ποικίλης Σφιγγὸς τὴν φωνὴν ἐναπομαξαμένη καὶ ἐκμιμουμένη. Τούτων ὅσα τῇ ψυχῇ καὶ διὰ μνήμης ἔχω, ἀκούσειας ἄν, ὦ βασιλεῦ, καὶ ἀναλογιζόμενος καὶ ἀναψηφίζων*[6] *τῇ συνετῇ διανοίᾳ, δίελθε*[7] *τοὺς δυςφράστους τῶν αἰνιγμάτων ὁδούς, ἐρευνῶν ὅπου εὐτριβὴς*[8] *καὶ σαφὴς*[9] *ὁδὸς τῇ ὀρθῇ τρίβῳ καὶ ἐν τῷ σκότει ὁδηγεῖ καὶ προάγει· ἐγὼ δέ, τῆς ἀρχῆς τῆς βάσεως*[10] *σχοινίον*[11] *διαῤῥήξας, πρόειμι ἐπὶ τὰς τῶν ἀσαφῶν λόγων ἀφηγήσεις, πρώτην κρούσας ἀφητηρίαν, ὡς ταχὺς δρομεύς. Ἡ ἡμέρα δὴ*[12] *τὸ ὑψηλὸν ὄρος τοῦ Φηγίου*[13]

---

Particulam huius antiquissimae Paraphraseos, quam e Cod. Vatic. 1307. descripsimus, delibavit quidem indidem iam ante viginti tres annos Leopoldus Sebastianus, in praefatione tamen ad Lycophronem ita de ea loquutus est, ut neque, quanti ea momenti sit, perspexisse neque omnino huic rei administrandae par fuisse censendus sit. Tali enim in describendo Codice usus est sive levitate sive inscitia, ut verba lectu paulo difficiliora aut proprio Marte mutaret, aut e Tzetzianis Scholiis, ut ipsi quidem videbatur, corrigeret, aut, nullo lacunae indicio posito, prorsus suppprimeret. De inscriptione huius Paraphraseos, quam idem Sebastianus ne verbo quidem commemoravit, diximus supra eo loco, ubi de Codd. in universum disputavimus.

1) *ἐρωτᾷς* Sebast. omissa praeposit. 2) *τοῖς χρησμοῖς* Sebast.
3) *ἐκχέασασα* Sebast. miro errore. 4) *πάμμικτον* Sebast.
5) Cod. *δαφνηφαγῶν*. 6) *ἀναψηφιζόμενος* Sebast.
7) *διέρχου* Sebast. e Schol. Tzetz.
8) *ὅπου σε ἄγει ἡ ἀληθής* Sebast. e Schol. Tzetz.
9) *σαφὴ* apud Sebast., operarum fortasse vitio, legitur.
10) *βαλβίδος* Sebast. 11) *σχοινίου* Sebast.
12) *δὴ* omisit Sebast. 13) *τοῦ φηγίου ὄρους* Sebast.

τὸ ἀκρωτήριον τοῖς ταχέσι πτεροῖς τοῦ Πηγάσου ὑπερέπτατο[1], τὸν Τιθωνὸν ἐν ταῖς κοίταις πλησίον τῆς Κέρνης, τὸν τῆς σῆς μητρὸς ἀδελφόν, καταλιποῦσα· οἱ δὲ ναῦται τὰ εὐμάλακτα σχοινία τῆς τετριμμένης πέτρας ἔλυον καὶ ἐχώριζον, καὶ ἀπὸ τῆς γῆς τὰς ἀγκύρας ἀπέσπων[2]· αἱ δὲ πολύποδες καὶ λευκοχρώματοι καὶ ψιλαὶ καὶ λεῖαι καὶ εὐόφθαλμοι νῆες ταῖς κώπαις τὴν ἐπὶ[3] τὸν Ἑλλήςποντον παρθενοκτόνον θάλασσαν ἔτυπτον καὶ ἔπαιον[4], ὑπεράνω τῶν Καλυδνῶν[5] νήσων τὰ λευκὰ ἄρμενα ἀναφαίνουσαι, τὰ ἀκροστόλια[6], καὶ τὰ ἱστία ἐκτεταμένα[7] ταῖς ἀπὸ τῆς ἄρκτου θερμοῦ ἀνέμου πνοαῖς[8].

28—51. Ἡ δ' ἔνθεον σχάσασα βακχεῖον στόμα, Ἄτης ἀπ' ἄκρων βουπλανοκτίστων λόφων, τοιῶνδ' ἀπ' ἀρχῆς ἦρχε, καὶ τὰ ἑξῆς[9]· ἡ δὲ Ἀλεξάνδρα τὸ μαντικὸν καὶ μανικὸν στόμα ἀνοίξασα ἐκ τῶν ἄκρων τῆς βλάβης τῶν ἐκ τοῦ βοὸς κτισθέντων πύργων, τοιούτων ἀπ' ἀρχῆς ἤρξατο λόγων· Φεῦ, φεῦ ταλαίπωρε τροφὲ[10], ἐμπεπρησμένη καὶ πρότερον ταῖς πολεμηφόροις ναυσὶ τοῦ τριεσπέρου λέοντος, ἤτοι τοῦ Ἡρακλέος· ὅντινά ποτε ταῖς σιαγόσιν ὁ καρχαρόδους[11] κύων, ἤτοι τὸ κῆτος, τοῦ Τρίτωνος ἠφάνισε· ζῶν δὲ μάγειρος τῶν σπλάγχνων, φλεγόμενος[12] τῷ θερμῷ κύτει τοῦ λέβητος, ἤτοι τῆς γαστρὸς τοῦ κήτους, καὶ τῷ ἐπιπέδῳ, ἐν ταῖς μὴ φλεγούσαις ἐσχάραις, τουτέστι ἐντέροις, τὰς τρίχας τῆς κεφαλῆς ἀπεβάλλετο, ὁ τῶν ἰδίων τέκνων ἀναιρέτης, ὁ πορθητὴς τῆς ἐμῆς πατρίδος· ὁ τὴν κατὰ δεύτερον λόγον τεκοῦσαν αὐτὸν ἄφθαρτον Ἥραν βαρεῖ καὶ ἐπιπόνῳ βέλει κατὰ τὸ στέρνον πλήξας· ὁ τοῦ πατρὸς αὐτοῦ Διὸς Παλαίοντος ταῖς χερσὶ τὸ σῶμα κρατήσας ἐν μέσῳ τῷ σταδίῳ παρὰ τὸν ὑψηλὸν λόφον τοῦ Κρόνου, ὅπου ὁ τάφος ἐστὶ τοῦ ταράσσοντος τοὺς ἵππους Γίγαντος· ὁ τὴν τῆς Ἰταλικῆς θαλάσσης τοὺς ἐσωτάτους καὶ στενοὺς τόπους περιβλεπομένην ἀγρίαν Σκύλλαν[13] καὶ ταυροσφάγον λέαιναν, ὑπὲρ τοῦ σπηλαίου δίκην ἰχθύος πλέουσαν, ἀποκτείνας· ἥντινα πάλιν ὁ πατὴρ Φόρ-

---

1) ὑπερεπέτατο Sebast. 2) ἀπέσπαζον Sebast.
3) περὶ Sebast. 4) καὶ ἔπαιον omisit Sebast.
5) τῶν Καλυδωνίων Cod. perperam. 6) Cod. τὰ ἀκρόστομα vitiose.
7) ἐκτεταμέναι Sebast. 8) Cod. πνοιαῖς.
9) Haec prorsus omisit Sebastiani. 10) Cod. τροφεῦ.
11) Cod. καρχαρώδης. 12) Cod. φαγόμενος. 13) Cod. σκύλαν.

κυν, τὰς σάρκας κατακαύσας ταῖς λαμπάσιν, ἀνεκτήσατο καὶ ἀνεσώσατο· τὴν λεπτύνουσαν τὰ σώματα Περσεφόνην τὴν καταχθονίαν θεὸν οὐ τρέμουσαν, οὐδὲ φοβουμένην· ὅντινά ποτε ἄνευ ξίφους, δόλῳ ἀπέκτεινεν ὁ νεκρὸς Νέσσος, τὸν τὸν Ἅιδην πρώην χειρωσάμενον.

52 — 68. Λεύσω σε, τλῆμον, δεύτερον πυρουμένην κ. τ. ἑ. βλέπω σε, ταλαίπωρε, τὸ δεύτερον ἐμπεπρησμένην ταῖς ἀπ' Αἰακοῦ καταγομέναις χερσί· τοῖς οἰκουροῦσι καὶ φυλάττουσι τὴν Λαίτριναν πόλιν λειψάνοις τοῦ παιδὸς τοῦ Ταντάλου Πέλοπος, τοῦ καταποθέντος τῇ σποδιᾷ τοῦ πυρὸς τὸ σῶμα, τοῖς τε τοῦ βουκόλου Τευτάρου οἰστοῖς καὶ βέλεσι. Ταῦτα πάντα εἰς φανέρωσιν ἄξει ἡ βαρύμηνις καὶ βαρύζηλος γαμετὴ Οἰνώνη· ἀποστείλασα τὸν υἱὸν κατήγορον τῆς πατρίδος, ταῖς τοῦ πατρὸς ὀνείδεσιν ἐξηγριωμένη· χάριν τῶν ἐπεισάκτων κοιτῶν καὶ νόθων· αὕτη δὲ φαρμακοεργὸς ὑπάρχουσα, τὸ ἀνίατον καὶ χαλεπὸν τραῦμα τοῦ συζύγου τὸ πεπληγμένον ταῖς τοὺς Γίγαντας ἀνελούσαις ἀκίσι τῶν βελῶν ἰδοῦσα παρὰ τοῦ ὁμοιοπλίτου Φιλοκτήτου, τοῦ κοινοῦ μεθέξει θανάτου, ἀπὸ τῶν ἄκρων πύργων πρὸς τὸν νεόπληκτον νεκρὸν μετὰ ῥοίζου καὶ ἤχου ἐκρίψασα ἐπὶ κεφαλὴν τὸ σῶμα· φιλίᾳ γὰρ καὶ στοργῇ τοῦ ἀποθανόντος ἑλκομένη, τὴν ψυχὴν σκαρίζοντι καὶ ἀποπνέοντι ἐκπνεύσει τῷ νεκρῷ.

69 — 89. Στένω, στένω σε δισσὰ καὶ τριπλᾶ, δορὸς αὖθις κ. τ. ἑξ. στενάζω, στενάζω σε δισσῶς καὶ τρισσῶς δόρατος πάλιν πρὸς μάχην, καὶ πρὸς διαρπαγὰς οἴκων, καὶ πῦρ ἀναφαίνουσαν ἀφανιστήριον· στενάζω σε, ὦ πατρίς, καὶ τοὺς τάφους τοῦ κολυμβητοῦ Δαρδάνου, τοῦ υἱοῦ τῆς θυγατρὸς Ἄτλαντος Ἠλέκτρας· ὅστις ποτὲ ἐν τῇ Θρᾳκικῇ σχεδίᾳ, καθάπερ ὁ τοῦ Ἴστρου ποταμοῦ τετρασκελὴς πύρκος, τῷ δέρματι περικάμψας[1] τὸ σῶμα, μιᾷ κώπῃ Κρητικὸς ὥσπερ κέπφος ἔπλευσε, τὸ Θρᾳκικὸν σπήλαιον τῆς τοὺς κύνας θυομένης θεᾶς Ἑκάτης καταλιπών· τὸ σκοτεινὸν οἴκημα τῶν ἐπὶ τὴν Ῥέαν δαιμόνων· ὁπότ' ἠφάνισε πᾶσαν ὕσας καὶ βρέξας ὁ τοῦ Διὸς ἠχῶν καὶ ψοφῶν ὑετὸς τὴν γῆν· οἱ δὲ πρὸς τὸν χέρσον πύργοι κατέπιπτον· οὗτοι δὲ ἔπλεον τὴν ἐσχάτην μοῖραν βλέποντες πρὸ τῶν ὀμμάτων· αἱ δὲ φάλαιναι καὶ οἱ δελφῖνες καὶ αἱ τῶν ἀρσένων ἀνθρώπων τὰς κοίτας

1) Corrige περικαλύψας.

ἐπιθυμοῦσαι φῶκαι τὴν δρῦν καὶ τὰ δρύκαρπα καὶ τὸν γλυκὺν ἐτρέφοντο βότρυν. Βλέπω τρέχοντα κορμὸν πλεόμενον εἰς ἁρπαγὴν περιστερᾶς τῆς φονικῆς καὶ ἀναιδοῦς Ἑλένης· ἥντινα ὁ ἐν τοῖς ὑγροῖς φοιτῶν καὶ ἀναστρεφόμενος κύκνος γεννᾷ τῷ περιφερεῖ ὠῷ ὠστρακωμένην.

90—109. Καὶ δή σε ναύτην Ἀχερουσία τρίβος καταιβάτις πύγαργον οὐ πατρὸς κόπρους στείβοντα ῥακτῶν βουστάθμων ξενώσεται κ. τ. ἑξ. καὶ δή σε, ὦ Ἀλέξανδρε, ναύτην ἡ εἰς τὸν[1] Ἅιδην κατάγουσα ὁδός, τὸ ἀκρωτήριον τῆς Λακωνικῆς, ἅρπαγα ξενώσεται καὶ ὑποδέξεται, οὐ τοῦ ἰδίου πατρὸς τὰς μάνδρας καὶ ἐπαύλεις πατοῦντα τῶν τραχέων βουστασίων, ὡς ἔμπροσθεν τραπεζίτην καὶ κριτὴν ταῖς τρισσαῖς θεαῖς, Ἀθηνᾷ καὶ Ἥρᾳ καὶ Ἀφροδίτῃ, τοῦ κάλλους γεγονότα· ἀλλ' ἀντὶ τοῦ ὄρους τῆς Φρυγίας, τοῦ καλουμένου Ὀστρίμου, καὶ τὰς σιαγόνας τοῦ ὄνου, τὸν τόπον περάσεις τῆς Λακωνικῆς καὶ τὴν Μάλειαν· ἀντὶ δὲ τῆς εὐχίλου φάτνης, καὶ τῶν ἐν τοῖς προβάτοις κοιμήσεων, καὶ τῆς καλαύροπος[2], βαρβαρικόν σε πλοῖον ἀπάξει καὶ οἱ τοῦ Φερέκλου πόδες, τουτέστιν αἱ νῆες· εἰς τὰς δισσὰς θυρίδας καὶ εἰς τὰς ἐπὶ[3] Γυθίου πλάκας· ἐν αἷς πρὸς τραχεῖς καὶ ἀνειμένους τόπους τοὺς ἐπικαμπεῖς ἀφήσεις καὶ βαλεῖ νεῶν ὀδόντας, ἤτοι τὰς ἀγκύρας, τὰς ἐχέτορας καὶ φυλακτικὰς τοῦ κλύδωνος καὶ τῆς ζάλης, ὁρμίσεις ἐννεάπλοιον στόλον· καὶ τὴν πολύνυμφον δάμαλιν ὡς λύκος ἁρπάσας, δυοῖν περιστεραῖν, τουτέστι δυῶν θυγατέρων, ἠλλοτριωμένην· καὶ δεύτερον εἰς δίκτυον ξένων βρόχων ληϊστὴν ἐμπεσοῦσαν τῷ τοῦ Ἀλεξάνδρου πτερῷ, ταῖς θυσίαις νεωστὶ τῶν προβάτων ἀπαρχὰς καίουσαν ἐν ταῖς θαλασσίαις ψήφοις τῇ θεᾷ Ἰνοῖ, δραμῇ ὑπὲρ τὴν Σκάνδειαν καὶ τὴν τοῦ Αἰγίλου ἄκραν, διάπυρος κυνηγὸς χαίρων τῷ θηράματι.

110—146. Νήσῳ δ' ἐνὶ δράκοντος κ. τ. ἑξ. Ἐν δὲ τῇ τῆς Ἀττικῆς νήσῳ, τῆς τοῦ Κέκροπος διφυοῦς Γίγαντος βασιλείας, τὸν πόθον ἐκχέας καὶ ἐκκενάσας, τὴν χθεσινὴν καὶ παλαιὰν μίξιν τῆς Ἑλένης οὐκ ὄψει· νεκρὸν παρηγόρημα ἐκ τῶν ὀνειράτων κεναῖς ἀγκάλαις ψηλαφῶν τὰ κοιτάρια· ὁ γὰρ Πρωτεύς, ὁ τῆς ἐκ Φλεγραίας πόλεως Τορώνης στυγνὸς ἀνήρ, ᾧτινι γέλως καὶ δάκρυ μεμίσηται καὶ ἀπέστραπται· ἄπειρος

1) Inserui τόν. 2) Cod. καλάβροπος. 3) Cod. ὑπό.

γάρ ἐστι καὶ στερισκόμενος ἀμφοτέρων· ὁπότε ἐκ τῆς Θρᾴκης εἰς τὴν Αἴγυπτον τὴν χέρσον τὴν ταῖς ἐκβολαῖς τοῦ Νείλου ἐπεσκεπασμένην περάσας, οὐχὶ διὰ προπομπῆς νηός, ἀλλὰ ἄβατον ὁδόν, καθάπερ τις ἀσπάλαξ ἐν σπηλαίῳ κρυπτῆρος τρυπήσας τοὺς ἐσωτάτους τόπους, τοὺς ὑποκάτω τῆς θαλάσσης ἀστιβήτους ὁδοὺς διῆλθε, τῶν τέκνων ἐκφυγὼν τὰς ξενοκτόνους χεῖρας· καὶ τῷ πατρὶ Ποσειδῶνι πέμψας τὰς ὑπηκόους παρακλήσεις, στῆσαι αὐτὸν παλιμπόρευτον εἰς τὴν πατρίδα, ὅθεν πλανώμενος τὴν Παλληνίαν πόλιν ἐπῆλθε, τὴν τῶν Γιγάντων τροφόν· ἐκεῖνός σε, καθάπερ τῆς δικαιοσύνης ἐργάτης Γονεύς, τῆς τοῦ Ἡλίου θυγατρὸς τῆς κατ' ἴχνος τῶν ἀνθρώπων πορευομένης Θέμιδος βραβευτής, λοιδορήσει[1] χαλεπά· χωρίσει τῶν γάμων ἐπιθυμοῦντα τῆς νεοττείας καὶ τεκνογονίας τῆς περιστερᾶς ἐκβαλών· ὅστις, τοὺς Λύκου τε καὶ Χιμαιρέως τάφους τοῖς χρησμοῖς κυδαίνοντας καὶ δοξάζοντας Ἕλληνας οὐκ αἰδούμενος, οὐ τοὺς ἔρωτας τοῦ Ἀνθέως, οὐδὲ τὸν ξένοις σύνδειπνον τοῦ Ποσειδῶνος ἀγνὸν ἅλα, ἐτόλμησας, ἁμαρτωλέ, τῇ δίκῃ τῶν θεῶν παρεκβῆναι, λακτίσας τὴν τράπεζαν καὶ ἀναστρέψας τὸν νόμον, τῆς τροφοῦ ἄρκτου τοὺς τρόπους ἀναμαξάμενος. Τοιγαροῦν κτυπήσας κενὸν καὶ μάτην τῆς νευρᾶς τὸν κτύπον, ἄνευ σίτου καὶ ἄνευ δόρων κιθαρίζων μέλη· κλαίων δὲ τὴν πατρίδα τὴν πρότερον κεκαυμένην ἥξεις, ταῖν χεροῖν τὸ εἴδωλον ἐνηγκαλισμένος τῆς πέντε ἀνδράσι γεγαμημένης μαινάδου καὶ σοβαρίδος[2] καὶ Βάκχης, τῆς ἐκ Πλευρῶνος πόλεως Ἑλένης. Αἱ χωλαὶ γὰρ Μοῖραι, ἀπόγονοι τῆς παλαιᾶς θαλάσσης, ἤτοι τῆς Τηθύος, τοὺς μνηστῆρας τρισσαῖς ἀτράκτοις ἐπεμοίρασαν τὰ νυμφεύματα τῶν γάμων τῆς Ἑλένης πένταν δρα εὐωχηθῆναι.

147—179. Δοιὼ μὲν ἁρπακτῆρας κ. τ. ἑξ. ἁρπακτῆρας λύκους ἰδεῖν τοὺς ταχεῖς τριόρχας αἰετοὺς ὀφθαλμίας· τὸν δ' ἐκ Πλυνοῦ τε καὶ τῶν Καρικῶν πομάτων τῆς ῥίζης βλαστήσαντα· τὸν ἐξ ἡμισείας Κρητικὸν βάρβαρον, τὸν οὔτ' Ἐπειόν, οὔτε Λακεδαιμόνιον καθαρὸν γοναῖς Μενέλαον. Οὗτινός ποτε τὸν πάππον ἡ Δημήτηρ ἡ ὁρμητική, ἔνθους, Ἐριννὺς καὶ ξιφηφόρος, πολύσαρκα κατακόψασα τῷ λαιμῷ ἔφαγε, τὸν ὠμοπλάτην καθεσθίουσα· ὅντινα δὶς αὐξηθέντα καὶ τὸν βαρὺν ἔρωτα ἁρπακτικὸν διαφυγόντα τοῦ Ποσειδῶνος ἀπέστειλεν ὁ Ζεὺς εἰς τὰς τῆς Λατρίνης πόλεις, ἤγουν

1) Sic. 2) Corrige σοβάδος.

*τῆς Ἤλιδος ὁδούς, ὁμαλὴν δραμούμενον πέτραν τοῦ Μόλπιδος, τοῦ τῷ ὀμβρίῳ Διῒ τὸ σῶμα σφαγιασθέντος, τὸν γαμβροκτόνον Οἰνομάον ἀποκτεῖναι, ταῖς πενθεροφθόροις βουλαῖς καὶ ἀκαθάρτοις, ἃς ὁ τοῦ Καδμίλου υἱὸς Μυρτίλος κατεσκεύασε· τὸ δὲ ἔσχατον ἐκπιὼν ποτήριον, τοὺς φερωνύμους ἀπ' αὐτοῦ κατέδυ τοῦ Νηρέως τάφους, πανθάνατον μίασμα βοήσας καὶ καταρασάμενος τῷ γένει τῆς Ἱπποδαμείας, ὁ τὴν ταχεῖαν τοῖς ποσὶ Ψύλλαν, καὶ τὴν ταῖς ὁπλαῖς ταῖς τῶν ἀνέμων φοραῖς ἴσην Ἅρπιναν ἡνιοχῶν. Τὸν δὲ τέταρτον τὸν ἀδελφὸν θεάσεται τοῦ ἰσχυροῦ ἱέρακος, τουτέστι τοῦ Ἀλεξάνδρου, τὸν Δηΐφοβον, ὅντινα τῶν ὁμογενῶν τὰ δεύτερα τῆς πάλης καὶ μάχης ἕνεκα λαβόντα ἀναγορεύσουσιν· ἐν δὲ ταῖς κοίταις τὸν ἐκ τῶν ὀνείρων πέμπτον τεταραγμένον Ἀχιλλέα τῷ πεπλανημένῳ εἰδώλῳ προςκατατρίψει τῷ σώματι, τὸν μελλόνυμφον ξυνευνέτην ἐν τῷ Ἅιδῃ τῆς Κυταϊκῆς Μηδείας, τῆς τῷ ξένῳ βακχευθείσης Ἰάσονι. Ὅντινά ποτε ὁ πατὴρ καὶ φυγὰς ὁ Πηλεύς, τῶν μυρμήκων τὸν ἑξάπουν στρατὸν ἀνδρεῖον ποιήσας, Θεσσαλικὸν γίγαντα γεννᾷ ἀπὸ ἑπτὰ παίδων τεφρουμένων καὶ καιομένων μόνον τὴν φλέγουσαν σποδὸν ἐκδραμόντα καὶ ἐκφυγόντα.*

180—215. *Καὶ ὁ μὲν Ἀλέξανδρος* **παλίνοστος** *καὶ ὑποστραφεὶς*[1] *τὴν τρίβον παραγενήσεται τοὺς θερμοὺς σφῆκας, ἤτοι τοὺς Ἕλληνας, τῶν καταδύσεων ἀνελκύσας, καθάπερ νέος κατὰ τὸ δῶμα τῷ καπνῷ κινήσας καὶ ταράξας· οἱ δὲ ὠμοφάγοι Ἕλληνες τὴν πρώτην γεννήσασαν τὸν ἐπώνυμον τοῦ πολέμου Νεοπτόλεμον, Ἰφιγένειαν, τοῖς ἀνέμοις ὡς δάμαλιν* **σφαγιάσαντες**, *τὴν τὸν ἀπὸ Σκύρου δράκοντα, τουτέστι Νεοπτόλεμον, ἐν γαστρὶ ἔχουσαν καὶ λελοχευμένην· ἥντινα ὁ σύγκοιτος Ἀχιλλεὺς τοῦ Εὐξείνου πόντου ἔσωθε ζητῶν, τὴν τῶν Ἑλλήνων καρατόμον καὶ φονεύτριαν, ἐπὶ πολὺν χρόνον τὴν λευκὴν νῆσον, τὴν καλουμένην Σπῖλον, κατοικήσει, πρὸς ταῖς ἐκβολαῖς τῶν λιμναίων πομάτων τῆς* **Κέλτρου** *λίμνης, ποθῶν τὴν γαμετήν· ἥντινά ποτε ἐν ταῖς σφαγαῖς ἔλαφος, τὸν λαιμὸν ἐκτείνασα, ἐκ τῶν ξιφῶν ῥύσεται· βαθὺς δὲ ἔσω τοῦ αἰγιαλοῦ ἐρημικὸς ἐν ταῖς ψάμμοις τοῦ νυμφίου, ἤτοι τοῦ Ἀχιλλέως, δρόμος κληθήσεται καὶ λεχθήσεται, στενάζοντος τὰς βλάβας καὶ τὴν ματαίαν πορείαν τῶν πλοίων, καὶ τὴν ἀφανῆ, τὴν τὸ εἶδος ἀλλάξασαν, γραῖαν Ἰφιγένειαν,*

---

1) Cod. ἐξ ὑποστροφῆς.

ἐγγὺς τῶν σφαγίων, καὶ τῶν θυσιῶν, καὶ τοῦ παφλάζοντος καὶ βράζοντος κρατῆρος τῇ φλογὶ ἐκ τῶν βυθῶν τοῦ Ἅιδου· ὅντινα ἡ μέλαινα θεὸς, ἤτοι Περσεφόνη, φυσήσει τῶν νεκρῶν τὰς σάρκας τῷ λέβητι ἐκκαίουσα τῇ μαγειρίᾳ. Καὶ ὁ μὲν Ἀχιλλεὺς πατήσει τόπον Σκυθικὸν στενάζων εἰς πέντε που ἐνιαυτοὺς ἐπιθυμῶν τῆς κοίτης· οἱ δὲ Ἕλληνες ἐπὶ τὸν βωμὸν τοῦ προμάντεως υἱοῦ τοῦ Κρόνου Διός, τοῦ κρεανόμου τῶν νηπίων τέκνων σὺν τῇ μητρὶ αὐτῶν, ἤτοι τῶν στρουθῶν, τὸν δεύτερον ζυγὸν ποιήσαντες τῶν ὅρκων, ἰσχυρὰν καθοπλίσουσι ταῖς χερσὶν εἰρεσίαν καὶ κωπηλασίαν, σωτῆρα τὸν Διόνυσον, καὶ Βάκχον καὶ Σφάλτην, τῶν ἔμπροσθεν κακῶν καὶ κινδύνων ἀνακαλούμενοι· ᾧτινί ποτε τῷ Ταύρῳ Διονύσῳ ἐν[1] τοῖς ἐσωτάτοις παρὰ τὰ σπήλαια τοῦ Κερδώου καὶ Δελφινίου θεοῦ, Ἀπόλλωνος, μυστικὰς θυσίας τελέσει ὁ τῶν χιλιάδων ἄρχων τοῦ τὰς πόλεις πορθοῦντος στρατοῦ Ἀγαμέμνων. Ὥιτινι τῶν θυμάτων τὴν πρόσφατον χάριν ἀποτιννύων καὶ ἀνταμειβόμενος ὁ Ἐνόρχης Φιγαλεὺς καὶ Φαυστήριος θεός, Διόνυσος, τὸν λέοντα, ἤτοι τὸν Τήλεφον, τῆς σφαγῆς καθέξει καὶ κωλύσει· τὸ ἴχνος, ἤτοι τὸν πόδα, τοῖς κλάδοις τοῖς ἀμπέλου ἐμπλέξας, τὸ μὴ ἐκ ῥιζῶν ἀφανίσαι τοὺς Ἕλληνας, ὡς στάχυν, τέμνοντι τῷ ὀδόντι καὶ ταῖς δαπανητικαῖς σιαγόσιν.

216—242. Λεύσσω πάλαι δὴ σπεῖραν ὁλκαίων κακῶν κ. τ. ἑξ. βλέψω πάλαι τὴν συναγωγὴν κακῶν, τῶν ἀπὸ τῶν ὁλκάδων καὶ πλοίων συρομένων ἐν τῇ θαλάσσῃ, καὶ ἀπειλοῦσαν καὶ θροοῦσαν τῇ πατρίδι φοβερὰς ἀπειλάς, καὶ ἐκ πυρὸς βλάβας. Ὡς ὤφελέ σε μηδαμῶς ὁ Ἑρμῆς τὸν Πρύλιν ἐν τῇ περιῤῥεομένῃ νήσῳ, τῇ Ἴσσῃ[2], γεννῆσαι, τῶν πολεμίων Ἑλλήνων ὁδηγόν, συμπορθητὴν τῶν ἀδελφῶν, τὸν τέταρτον σπόρον ἐκ τοῦ ἀθλίου Ἄτλαντος, ὦ μάντι, πρὸς τὰ μέγιστα ἀληθέστατε. Μὴ δὲ τῶν τοῦ Αἰσάκου ὤφελεν ὁ ἐμὸς πατὴρ χρησμῶν καὶ τὰ ἐν τῇ νυκτὶ φάσματα ἀποπέμψασθαι· μιᾷ δὲ μοίρᾳ, ἤτοι ἑνὶ θανάτῳ, τοὺς δύω ὑπὲρ τῆς πατρίδος ἀφανίσαι, καύσας καὶ αἰθαλώσας τὰ μέλη τῷ Λημναίῳ πυρί· οὐκ ἂν τοσούτων κακῶν κῦμα ἐπέκλυσε καὶ ἐπεκάλυψε. Καὶ δὴ ὁ βρεφοκτόνος Παλαίμων βλέπει τὴν παλαιὰν σύγκοιτον καὶ τοῦ Ὠκεανοῦ τροφὸν[3]

---

1) Inserui ἐν. 2) Cod. Ἴσῃ.
3) Scholiastes videtur in textu habuisse τιθήνην.

θάλλουσαν καὶ βράζουσαν ταῖς πολύποσι καὶ πολυκώποις — ἐκ μεταφορᾶς τῶν τοῦ πολύποδος πλεκτανῶν· — γραῖαν ξύνευνον λέγει τὴν Τηθὺν τοῦ Ὠκεανοῦ· ἡ αὐτὴ δέ ἐστι τῇ θαλάσσῃ· Ὠγένου δέ, τοῦ Ὠκεανοῦ, οὕτω γὰρ ἐκαλεῖτο πρότερον. — Καὶ δὴ δισσὰ σὺν τῷ πατρὶ ἀναιρεῖται τέκνα, ἰσχυρῷ πληγέντα κατὰ τὰς κλεῖδας λίθῳ τοῦ καλῶς ἄρχοντος Ἀχιλλέως· τὰ ἔμπροσθεν διαφυγόντα ταῖς ψευδέσι φήμαις τοῦ αὐλητοῦ τοῦ Μόλπου σὺν τῷ λάρνακι ῥιφάς· ᾧτινι δὴ Μόλπῳ πιστεύσας ὁ φοβερὸς φονεὺς τῶν τέκνων Κύκνος, ὑπὸ τῶν αἰθυιῶν τεθραμμένος· ὁ ὑπὸ ἁλιέων τοῖς δικτύοις ἀγρευθείς, ὁ τοῖς ὀστρέοις καὶ τοῖς κοχλίαις τοῖς θαλασσίοις φίλος, τῇ κιβώτῳ καὶ τῇ λάρνακι κατέκλεισε τὰ δύο τέκνα. Σὺν τούτοις δὲ ὁ ταλαίπωρος μνήμων τῆς μητρὸς θεᾶς Θέτιδος οὐκ εἰπὼν τὰς ἐντολάς, ἀλλὰ τῇ λήθῃ ἀποσφαλείς, ἐπὶ πρόσωπον πεσὼν ἀποθανεῖται, κατὰ τὸ στῆθος πληγεὶς ξίφει.

243 — 280. Καὶ δὴ στενάζει καὶ στενοχωρεῖται ἡ Μύρινα, καὶ αἱ ὄχθαι, τῶν ἵππων τὸν χρεμετισμὸν οἱ αἰγιαλοὶ προςδεχόμενοι, ὁπόταν τὸ Θεσσαλικὸν πήδημα τοῦ ταχέος ποδὸς εἰς τὸν αἰγιαλὸν στηρίξας τὸ ἔσχατον καὶ τελευταῖον ὁ θερμὸς λύκος Ἀχιλλεὺς πηγαῖον ἐκ τῆς ἄμμου ἀναδώσῃ ὕδωρ, τὰς πηγὰς τὰς πάλαι κεκρυμμένας ἀνοίξας. Καὶ δὴ κατακαίει τὴν γῆν ὀρχηστὴς πόλεμος τῷ κόχλῳ, ἤγουν τῇ σάλπιγγι, τὸν πολέμιον νόμον ἠχῶν καὶ κτυπῶν· ἅπασα δὲ ἡ γῆ πρὸ τῶν ὀμμάτων, καὶ τῶν ὀφθαλμῶν, πορθουμένη καὶ αἰχμαλωτιζομένη πρόκειται· πεφρίκασι δὲ ταῖς λόγχαις, καὶ τοῖς ξίφεσι ἀποστίλβοντες οἱ Ἕλληνες, καθάπερ σιτοφόρου χώρου πλέθρα, ἤτοι μέτρα· οἰμωγὴ δὲ καὶ βοὴ ἐν τοῖς ὠσί μου ἐκ τῶν ἀκροπόλεων τυποῦται καὶ ὁμοιοῦται τὰς τοῦ αἰθέρος νηνέμους βάσεις[1], τῷ γόῳ τῶν γυναικῶν καὶ ταῖς διαῤῥαγαῖς[2] τῶν πέπλων, ἄλλην ἐπ' ἄλλῃ συμφορὰν προςδεχομένων. Ἐκεῖνό σε, ὦ ταλαίπωρε καρδία, τὸ ὑπέρτατον κακὸν τῶν βλαβῶν ποιήσει[3], ὁπόταν λάβρος γενόμενος ὁ φοβερὸς πολεμιστὴς χάρων Ἀχιλλεὺς τοῖς τροχοῖς τὴν γῆν, ὡς ἀετός, διαχαράσσων, τῇ ἐπικαμπεῖ καὶ ἀγκύλῃ βάσει τετυπωμένην αὔλακα, κλάζων τε ἀνόμοιον καὶ παρηλλαγμένην τῷ στόματι φοβερὰν βοήν, τὸν προςφιλέστατόν σου τῶν ὁμογαστρίων ἐν-

1) Deest ἐπιτυγχάνουσα. 2) Cod. διαρπαγαῖς.
3) Corrige πιέσει, sive, quod malim, λυπήσει.

τροφον[1], ἐκ τοῦ πατρὸς Ἀπόλλωνος τοῦ Πτώου, μετάρσιον ἁρπάξας τοῖς ὄνυξι τοῖς ἐπικαμπέσι τὸ σῶμα καθαιμάσσων καὶ καθεσθίων, τὰ ἔγχωρα ἕλη καὶ τὸ ἔδαφος τῷ φόνῳ μιαίνῃ, διὰ τῆς ὁμαλῆς γῆς ὁ βοηλάτης καὶ ἀροτριεὺς τέμνων τὴν αὔλακα· λαβὼν δὲ τοῦ ἀποκτανθέντος ταύρου Ἕκτορος τὸ δῶρον, ἀκριβεῖ ζυγῷ τῆς τρυτάνης ἐπηρμένον καὶ μετεωρισμένον, πάλιν τὸν ἀντίδοτον ἴσον ἐγχέας τοῖς σταθμοῖς τὸν τοῦ Πακτωλοῦ ποταμοῦ λαμπρὸν χρυσόν, τὸν κρατῆρα τοῦ Διονύσου ὑποδύσεται κεκλαυσμένος ταῖς Νύμφαις, αἵτινες ἠσπάσαντο τοῦ Βηφύρου ποταμοῦ τὸ ὕδωρ, καὶ τὴν Λειβηθρίαν ἐξοχὴν καὶ ἀκρώρειαν, καὶ τὴν ὑπεράνωθεν τῆς Πιμπλείας πόλιν, ὁ νεκροπέρνας καὶ νεκροπόλος[2], ὅςτις, φοβούμενος τὸν θάνατον, καὶ γυναικεῖον περὶ τὸ σῶμα ἱμάτιον καρτερήσει ἐνδύσασθαι, παρὰ τοῖς ἱστοῖς τῆς κερκίδος ἀψάμενος τῶν κρότων, καὶ ἔσχατος εἰς τὴν γῆν τῶν πολεμίων τὸν πόδα ῥίψαι, τὸ σόν, ὦ ἀδελφὲ Ἕκτορ, καὶ ἐν τῷ ὕπνῳ δόρυ φοβούμενος.

281—306. [3] Ὦ δυςδαῖμον Ἀχιλλεῦ, ὁποῖον κίονα ἀφανίσεις τῶν οἴκων, τὸ ἔρεισμα καὶ στήριγμα τῆς δυςτυχοῦς καὶ ἀτυχοῦς πατρίδος ἀποσπάσας· οὐ μὴν ἄνευ βλάβης καὶ τιμωρίας, οὐδὲ χωρὶς πόνων καὶ κόπων πικρῶν καὶ πένθους ὁ ληστὴς στρατὸς Ἕλλην γελᾷ, ἐπεγγελῶν καὶ ἐπαγαλλόμενος τῷ θανάτῳ τοῦ πεπτωκότος· ἀλλὰ ἐπὶ ταῖς πρύμναις τὴν ἐσχάτην τοῦ βίου βλάβην δραμών, ταῖς ναυσὶ συμφλεχθήσεται, προςκαλούμενος ἐν ταῖς εὐχαῖς πολλὰ τὸν φυγαδευτικὸν

---

1) Scholiastes haec verba ita distinxit: *ὁμογαστρίων· ἔντροφον·* Codex enim nullam interpunctionis notam habet, praeter eam, quam Grammatici *μέσην στιγμὴν* appellant.

2) Corrige *νεκροπώλης*.

3) Afferam hic locum alterius Paraphraseos ineditae, quae in Cod. Vat. CXVII. legitur, et quam Sebastianus eandem cum Paraphrasi Cod. MCCCVII. esse censuit. Quantum vero ea et ab hac, quam edimus, et a Tzetzianis expositionibus diversa sit, ex his, quae sequuntur, luculenter apparebit. V. 281—313. *Ὦ Ἕκτορ ἀδελφέ, ὁποῖον Ἕκτορα, διὰ τὴν ἰσχύν, ἀφανίσεις οἴκων, ἐπιστήριγμα τῆς πατρίδος ἀτυχοῦς ἀφελόμενος· οὐδαμῶς γε ἄνευ βλάβης οὐδὲ χωρὶς πικρῶν κακῶν καὶ τοῦ πένθους τῶν Ἑλλήνων καὶ Ἑλληνικὸς* (omissum est *γελάσει στρατὸς*) *ἐπεγγελῶν τοῦ Ἕκτορος τῷ θανάτῳ· ἀλλὰ περὶ ταῖς ναυσὶ τὴν ἐσχάτην δραμών, ταῖς ναυσὶ τὸν βίοτον συγκαυθήσεται, καλῶν ἐν ταῖς προςευχαῖς πλεῖστα τὸν τῆς φυγῆς αἴτιον γενόμενον τοῖς Ἕλλησι Δία, τοῖς πολιορκουμένοις τὰς πικρὰς μοίρας ἀποστρέψαι. Τότε οὐδαμῶς ἡ τάφρος, οὔτε τοῦ λιμένος τῶν στασέων ἡ περιβολή, σταυρώμασιν, ἤγουν τοῖς ξύλοις, τὸ ὑψηλὸν τεῖχος, οὔτε ἡ στεφανὶς τοῦ τείχεος βοηθήσουσι, οὐδὲ αἱ προμαχῶνες· ἀλλ' ὥςπερ μέλισσαι τῷ καπνῷ συντεταραγμέναι, τῆς ἀναδύσεως τοῦ καπνοῦ ταῖς ὁρμαῖς καὶ κορμῶν βολαῖς, τὰ ἄκρα τῆς νεὼς τὰ πρυ-*

*Δία, τοῖς πορθουμένοις τὰς πικρὰς καὶ θανατηφόρους μοίρας ἀποστρέψαι· τότε οὔτε ἡ τάφρος, οὔτε τῶν λιμένων καὶ τῶν ἐπαύλεων ἡ περιβολή, καὶ τὸ τοῖς ὀρθοῖς λίθοις κλιμακωτὸν τεῖχος, οὐδὲ αἱ στεφανίδες τῶν τειχέων βοηθήσουσιν, οὔτε αἱ κλίμακες· ἀλλ' ὥςπερ μέλισσαι τῷ καπνῷ συμπεφυρμέναι καὶ ταῖς τοῦ κάπνου φοραῖς καὶ τοῦ κορμοῦ ταῖς βολαῖς, τὰ εὔθλαστα πρυμνήσια, καὶ πρώρας, καὶ τοὺς θρόνους, καὶ τὰ καθεστήρια τῶν ἐρεσσόντων καὶ κωπηλατούντων, πυκνοὶ καὶ συνεχεῖς ἐπὶ κεφαλὴν ἐκ τῶν σανίδων φυγόντες, τῷ αἵματι μολυνοῦσι*[1] *τὴν ἀλλοτρίαν γῆν. Πολλοὺς δὲ ἀριστεῖς τὰ πρῶτα ἐπινίκια τῆς Ἑλλάδος τῷ δόρατι φέροντας, καὶ ταῖς σποραῖς καὶ τῇ εὐγενείᾳ ἐπηρμένους, αἱ σαὶ ἰσχυραὶ χεῖρες κατακόψουσι, τῷ φόνῳ βρύουσαι καὶ ἐπιθυμοῦσαι τῆς μάχης. Ἐγὼ δὲ οὐ μικρὸν τὸ πένθος ἀποίσομαι, τὰς σὰς στενάζουσα διὰ τοῦ αἰῶνος ταφὰς καὶ κηδείας· ἐλεινὸν γὰρ ἐκεῖνο, ἐλεινὸν τὸ φῶς θεάσομαι, καὶ τῶν βλαβῶν καὶ συμφορῶν τὸ μέγιστον, ὥντινων ὁ τελεστὴς χρόνος τῆς σελήνης περιελίσσων καὶ περιφέρων τὸν κύκλον ὀνομασθήσεται.*

307 — 347. *Αἴ, αἴ στενάζω καὶ σὸν εὔγλαγον θάλος κ. τ. ἑξ. ἰού, στενάζω τὸ σὸν*[2] *εὐτραφὲς ἄνθος, ὦ σκύμνε, τὸ φαιδρὸν ἐμοὶ περίπλεγμα τῶν ἀδελφῶν, Τρωΐλε· ὅςτις τὸν ἄγριον δράκοντα τῷ ἐρωτικῷ ἴυγγι τῶν τόξων τρώ-*

*μναῖα καὶ εὐφημισμόν.* (omissa est vox *ἄφλαστα*, ad quam spectat *καὶ εὐφημισμόν*. Cf. Tzetz. ad h. l.) *τὰ πρωραῖα ἄκρα καὶ τὰς κλεῖδας, ἐν αἷς κάθηνται οἱ ἐρέσσοντες συνεχεῖς κολυμβηταί, ἐκ τῶν καταστρωμάτων τῆς νεὼς ἁλλόμενοι, αἱματώσουσι τὴν ξένην γῆν. Πολλοὺς δ' ἀρίστους Ἑλλήνων καὶ τὰ ἐξαίρετα τοῦ πολέμου λάφυρα τῷ δόρατι κομίζοντας, καὶ εὐγενείᾳ μεγαλαυχοῦντας, αἱ σαὶ ἀναιρήσουσιν, ὦ Ἕκτορ, αἱ ἰσχυραὶ χεῖρες, τοῦ φόνου βρύουσαι καὶ μάχης ἐπιθυμοῦσαι, ὁρμῶσαι· ἐγὼ δὲ θρῆνος οὐ μικρόν, ἀλλὰ πολὺ καὶ μέγα ἀπενέγκομαι* (sic), *τὰς σὰς στενάζουσα καὶ μέχρι ζωῆς ταφάς. Ἐλεεινὴν γάρ, ἐλεεινὴν ἐκείνην τὴν ἡμέραν θεάσομαι, καὶ τῶν βλαβῶν τὴν μεγίστην, ὥντινων ὁ ἐπιτελὴς* (leg. *ἐπιτελεστὴς*) *χρόνος τῆς σελήνης* (in Cod. haec vox figurate expressa est ☾) *συστρέφων τὸν κύκλον ῥηθήσεται. Φεῦ, φεῦ, θρηνῶ καὶ τὸ σὸν εὐτραφὲς σῶμα, λέγει τὸν Τρωΐλον — φασὶ γὰρ διδύμους Τρωΐλον καὶ Κασσάνδραν — καλεῖ φίλτατον τῶν συγγόνων, ἤτοι ἀδελφῶν·* (omissum est *ὃς τὸν ἄγριον δράκοντα,*) *τὸν Ἀχιλλέα λέγει, τῷ ἐρωτικῷ βαλών, τρώσας τῷ ἔρωτι τῶν τόξων· τὸν δὲ τυπέντα ἐν τοῖς βρόχοις καταλαβὼν τοῖς ἀλύτοις τὸν μικρὸν, ἤτοι ὀλίγον, ἠγαπημένον χρόνον, παρὰ τοῦ δαμασθέντος Ἀχιλλέως αὐτὸς τῷ ἔρωτι οὐ τετρωμένος, ὦ Τρωΐλε, τὴν κεφαλὴν τμηθεὶς* (omissum est *τύμβον αἱμάξεις*) *τοῦ Ἀπόλλωνος λέγει.* Praeterea haec apprime cum iis Scholiis conveniunt, quae e Cod. Parisino A. edidimus.

1) Cod. *μολύνουσι.* 2) *τὸ σὸν* inserui.

σας, τὸν δὲ βληθέντα ἐν τοῖς ἀλύτοις βρόχοις κατασχών, ὀλίγον καὶ ἄστατον χρόνον, παρὰ τοῦ δαμασθέντος αὐτὸς μὴ τετρωμένος ἔρωτι, κεφαλοτομηθεὶς τὸν τάφον αἱματώσεις τοῦ πατρὸς Ἀπόλλωνος. Φεῦ μοι, ὦ δυςτυχὴς σκύλαξ, Ἑκάβη, καὶ τὸν σόν, ταλαίπωρε, θάνατον στενάζω, καὶ τὰς σάς[1] ἀηδόνας, Λαοδίκην καὶ Πολυξένην· ὧν τὴν μέν, Λαοδίκην, σὺν τοῖς κλάδοις καὶ ῥίζαις ἡ τεκοῦσα γῆ χανοῦσα τῷ μυχῷ διὰ τοῦ χάσματος χείσεται καὶ καταπίεται[2] βλέπουσαν τῆς πατρίδος τὴν βλάβην πλησίον τῶν στεναγμῶν, ὅπου τὸ ἄλσος τοῦ πάππου Τρωός, καὶ τῆς πόρνης Κίλλας οἱ θάνατοι, τῆς λαθραίως νυμφευθείσης δαμάλεως, μεμιγμένοι τῷ τέκνῳ κέχυνται, πρὶν ἢ γεύσασθαι γάμων, πρὶν ἢ ἐκ τῶν λοχευμάτων τὰ μέλη ἀποπλῦναι τῷ ὕδατι. Σὲ δέ, ὦ Πολυξένη, ὠμῶς καὶ ἀπηνῶς πρὸς νυμφευτήρια καὶ γαμηλίους θυσίας ἄξει ὁ φοβερὸς λέων τῆς Ἰφιγενείας υἱὸς Πύῤῥος, τῆς χαλεπῆς μητρὸς τὰς θυσίας μιμούμενος· ἥντινα εἰς τὴν βαθεῖαν τάφρον λαιμοτομήσας, εἰς τὴν πόλιν Βοιωτίας τὴν Ποιμανδρίαν ἐστολισμένην βοῦν, φοβερὸς ἐπηρμένος δράκων ἀποκτενεῖ τῷ ξίφει τοῦ τριπάτρου Ἄρεος τοῖς λύκοις Ἕλλησι τὸ πρῶτον σφαγὲν ὁρκωμόσιον λύσας. Σὲ δέ, ὦ Ἑκάβη, ἐπὶ τὴν κοίλην καὶ βαθεῖαν ἠϊόνα τῶν Δολόγκων ἔθνους, πρέσβυν καὶ παλαιὰν ὑβριστικαῖς κατάραις παροξύνουσαν, τῇ χειρὶ τοῦ δήμου λιθόλευστον γενομένην, καλύψει χιτών τις τῇ ἐπομβρίᾳ τῶν χειροπληθῶν λίθων, ὅταν εἰς κυνὸς φαιὸν σῶμα ἀλλάξῃς τὸ σῶμα. Ὁ δὲ Πρίαμος, ἐπὶ τῷ βωμῷ[3] τοῦ Διὸς ἀποκτανθείς, τὴν βάσιν λευκῷ τῷ πλοκάμῳ κάτωθεν καλλωπίσει· ὁ διὰ τῆς καλύπτρης τῆς ἀδελφῆς Ἡσιόνης ταλαίπωρος ἀγοραστός, εἰς τὴν ἐμπεπρησμένην πατρίδα παραγενόμενος, τὸ πρότερον ταπεινὸν ὄνομα ἀφανίσας τῇ λήθῃ· ὁπηνίκα ὁ χέλυδρος Ἀντήνωρ, ὁ ὠμόθριξ τῷ Πριάμῳ[4], ὁ προδότης καὶ πράτης τῆς φυσάσης αὐτὸν πατρῴας γῆς, τὸν βαρὺν σπινθῆρα καύσας, τὸν γεννήσοντα τὴν φοβερὰν ἐνέδραν, ἤγουν τὸν δούρειον ἵππον ἀνοίξει, τῆς γαστρὸς ἑλκύσας τὰς σανίδας· τῆς δὲ τοῦ Σισύφου[5] σκολιᾶς[6] ἀλώπεκος, ἤτοι τοῦ Ὀδυσσέως, ὁ αὐτανέψιος Σίνων, ἀνάψει κακὴν λαμπηδόνα

1) Sic. 2) Cod. χύσει καὶ καταπίει vitiose. 3) Cod. τὸν βωμόν.

4) Scribendum ex mente Scholiastae ὁμόθριξ, voluit enim exprimere, Antenorem Priamo aequalem, i. e. grandaevum, fuisse.

5) Cod. Σισυφείου. 6) Cod. κοιλίας.

τοῖς εἰς τὴν στενὴν Λεύκοφρυν, νῦν δὲ Τένεδον, ἐκπεπλευκόσι Ἕλλησι, καὶ τοῦ τοὺς παῖδας καταβιβρώσκοντος Πόρκεως δράκοντος διssὰς Καλυδνὰς νήσους.

348—386. Ἐγὼ δὲ τλήμων ἡ γάμους ἀρνουμένη κ. τ. ἑξ. ἐγὼ δὲ ἡ ταλαίπωρος Ἀλεξάνδρα, ἡ τοὺς γάμους ἀθετοῦσα καὶ ἀποστρεφομένη, ἐν τοῖς οἰκοδομήμασι τοῦ λιθίνου παρθενῶνος χωρὶς παστάδων καὶ ὀροφωμάτων ξυλίνων, εἰς ἄξυλον στέγην ἀπὸ τῆς εἱρκτῆς ἀφανίσασα τὸ σῶμα, ἡ τὸν Θοραῖον καὶ Πτῷον καὶ Ὡρίτην θεὸν Ἀπόλλωνα, ἐπιθυμοῦντα τῶν εὐνῶν καὶ μίξεων, ἐκβαλοῦσα τῶν δεμνίων, ὡς ἂν παρθενείαν ἄφθαρτον κεκτημένη πρὸς ἄκρον γῆρας, τῆς πολεμικῆς Ἀθηνᾶς καὶ μισογάμου καὶ Λαφρίας καὶ Πυλαίτιδος τοῖς ζηλοτυπήμασι, τότε βιαίως, ὡς φάσσα, εἰς γυπὸς κοίτην γνάθοις ἐπικαμπέσι, ἢ δρεπάναις, ὑπὸ τοῦ Αἴαντος, ὡς ἄμπελος, ἑλκυσθήσομαι· ἥτις πολλὰ τὴν Βούδειαν καὶ Αἴθυιαν κόρην Ἀθηνᾶν ἀντιλήπτορα καλέσασα, καὶ βοηθὸν τῶν γάμων· αὕτη δὲ εἰς τὰς ὀροφὰς τῆς ἀπὸ ξύλου γεγλυμμένης στέγης τοὺς ὀφθαλμοὺς ἄνω στρέψασα, κοτέσσεται καὶ μηνίσει τῷ στρατῷ· ἡ ἐκ τοῦ οὐρανοῦ πεσοῦσα καὶ τῶν τοῦ Διὸς θρόνων, τῷ βασιλεῖ πάππῳ Ἴλῳ πρᾶγμα τιμαλφέστατον. Ἀντὶ ἑνὸς δὲ ἁμαρτίας Αἴαντος, πᾶσα ἡ Ἑλλὰς στενάξει τῶν μυρίων τέκνων τὰ κενοτάφια τῶν ὑφάλων πετρῶν ὑποκαθήμενα, οὐχὶ τοῖς τάφοις καὶ ταῖς τῶν ὀστῶν θήκαις· οὐδὲ τὴν ἐσχάτην ὁρῶντες ἐκ τοῦ πυρὸς τέφραν τοῖς ἀμφορεῦσιν, ἢ τοῖς ξέσταις, ταφεῖσαν, ὡς νόμος ἐστὶ θνητῶν· ἀλλ' ὄνομα ἐλεεινόν, καὶ κενοταφίων ἐπιγραφὰς τοῖς θερμοῖς τῶν τεκόντων δάκρυσι καὶ τῶν παίδων καὶ τῶν γαμετῶν τοῖς θρήνοις βεβρεγμένας. Ὦ Ὀφέλτα, καὶ ὦ μύχουρε, καὶ ὦ Ζάραξ τῶν ὑφάλων πετρῶν· καὶ ὦ σπιλάδες, καὶ ὦ Τρύχατα, καὶ ὦ Νέδων τραχύς· καὶ πάντα τὰ τοῦ Διρφωσσοῦ ὄρους, καὶ τῶν Διακρίων[1], καὶ αἱ καταδύσεις τῆς θαλάσσης, καὶ τὰ τοῦ Φόρκυνος οἰκητήρια· ὁπόσων στεναγμῶν τῶν ἐκβεβρασμένων νεκρῶν σὺν τοῖς ἡμιθραύστοις ξύλοις ἀκούσετε· ὁπόσον δὲ φλοῖσβον τῆς ἀνεκβάτου καὶ τραχείας πέτρας, ταῖς συστροφαῖς καὶ παλιῤῥοίαις τοῦ σάλου ἕλκοντος ἀκούσετε· ὁπόσων δὲ Ἑλλήνων διεφθαρμένων τὰς συνθέσεις τῆς κεφαλῆς πρὸς ταῖς πλατείαις πέτραις· ὧντινων καταιβάτης κεραυνὸς κατὰ τὴν νύκτα φάγεται διακοπτομένων, ὁπό-

---

1) Cod. ὦ Διακρίων.

*ταν ὡς μεθύοντας ἐκ τῆς μέθης ἀπάγων ὁ Ναύπλιος[1] φανὸν φαίνῃ, τὸν ὁδηγὸν τοῦ σκότους, ὁ βλαπτικὸς τῇ ἀγρύπνῳ τέχνῃ παρακαθήμενος.*

387 — 416. *Τὸν δὲ Αἴαντα, ὥςπερ κολυμβητὴν ἁλκυόνα, διὰ στενοῦ πορθμοῦ, ἢ εἰςόδου, ἀπάξει τὸ κῦμα τὸν γυμνὸν φάγρον, μεταξὺ δύο πετρῶν σπαραγμένον. Ἐν ταῖς Γυραῖς δὲ πέτραις τινάσσων καὶ ξηραίνων καὶ ψύχων τὰ πτερὰ ἀποστάζοντα τῆς θαλάσσης, δευτέραν θάλασσαν ἐπισπάσεται, τυπεὶς ἀπὸ τῶν αἰγιαλῶν τῷ τριαίνῳ[2] δόρατι· ᾧτινι αὐτὸν ὁ φοβερὸς τιμωρός, καὶ λατρεὺς τοῦ Λαομέδοντος, Ποσειδῶν, πλήξας, ἀναγκάσει τοῖς κήτεσι τοῦ δρόμου κοινωνεῖν, τὸν ὡς κόκκυγα καυχώμενον ματαίας λοιδορίας. Ψυχρὸν δὲ ἐν ταῖς ἀκταῖς, καὶ ἐν τοῖς αἰγιαλοῖς, ἐκβεβρασμένον καὶ ἐκπεπτωκότα, ὡς δελφῖνα, νεκρόν, ἡ ἡλιακὴ ἀκτὶς καταξηρανεῖ· τεταριχευμένον ἐν τοῖς μνίοις δὲ καὶ βρύοις καὶ διαλελυμένον κατακρύψει καὶ διασώσει ἐλεήσασα ἡ τῆς Νησαίας Νηρηΐδος ἀδελφὴ Θέτις, ἡ τοῦ μεγίστου Διὸς καὶ Κυναιθέως βοηθός. Ὁ γείτων τάφος τῆς πετρωθείσης[3] Ὀρτυγίας, ἤτοι Δήλου νήσου, ὁ Τρέμων διατηρήσει τὸν ῥοῦν τῆς Αἰγαίας θαλάσσης. Τὴν Καστνίαν δὲ καὶ Μελινναίαν θεὸν Ἀφροδίτην ὁ λυπηρὸς Αἴας παρὰ τὸν Ἅιδην ὑβρίσει κακολογῶν καὶ λοιδορῶν, ἥτις αὐτὸν ἀγρεύσει τοῖς ἀλύτοις τοῦ πόθου δικτύοις· ἔρωτας καὶ οὐκ ἔρωτας, ἀλλὰ τῶν Ἐριννύων, καὶ τιμωρητικῶν δαιμόνων, πικρὰν καὶ χαλεπὴν ἀποτινάξασα καὶ ἀποκινήσασα τὴν εἰς θάνατον καὶ κῆρα θανατηφόρον ἕλκουσαν παγίδα.*

*Ἅπασα δὲ ἡ γῆ πόνους καὶ ἀλγηδόνας δέχεται τῶν θρήνων καὶ στεναγμάτων, ὁπόσην ὁ Ἄραιθος ποταμός, καὶ αἱ κακόβατοι[4] Λειβηθρίαι συνέχουσιν ἐν ταῖς τοῦ Δωτίου ἀκρωτηρίου πυλαῖς, ἤτοι πᾶσα ἡ Ἑλλάς· οἷςτισιν ὁ ἐμὸς ἔσται παρὰ τὴν Ἀχερουσίαν ῥηγμῖνα καὶ ἀκτὴν ἐπὶ πολὺ ἐστεναγμένος γάμος. Πολλῶν γὰρ ἐν τοῖς ἐγκάτοις ταφήσεται βρωθεὶς τοῖς πολυοδοῦσι γνάθοις τῶν κητῶν, ἀναρίθμητος ὄχλος· οἱ δ᾽ ἐπὶ ξένης ξένοι τῶν συγγενῶν χωρὶς τάφους ἀσπάσονται.*

---

1) Cod. ὁ *ναύτιλος*, ita ut ipse accentus vitii indicium habeat.
2) Incipit Cod. fol. 47. rect.
3) Cod. *πετροθήκης*. Scholiastes videtur in textu legisse *πετρουμένης*.
4) Cod. *κακώτατοι*.

417 — 477. Τὸν μὲν γὰρ Ἠιὼν Στρυμόνος Βισαλτία[1]· τὸν μὲν γὰρ Φοίνικα ἡ πόλις τῶν Θρακῶν Ἠιὼν τοῦ ποταμοῦ Στρυμόνος, ἔθνους τῶν Βισάλτων, τῶν Ἀψυνθίων καὶ τῶν Βιστόνων ἡ ἀστυγείτων ἄγχουρος, καὶ τῶν Ἠδωνῶν ἡ ἐγγύς, τὸν παιδοτρόφον τοῦ Ἀχιλλέως Φοίνικα τὸν γέροντα καλύψει, πρὸ τοῦ τὸ Τυμφρηστὸν θεάσασθαι ἀκρωτήριον· τὸν τῷ πατρὶ πολὺ μεμισημένον τῶν ἀνθρώπων, ὅστις αὐτὸν ἐποίησεν τυφλόν, διατρήσας καὶ τρυπήσας τοὺς ὀφθαλμούς, ὁπόταν εἰς νόθον κοίτην περιστερᾶς, ἤτοι τῆς Κλυτίας, παλλακίδος τοῦ πατρὸς αὐτοῦ, ἐκοιμήθη (sic). Τοὺς τρεῖς δὲ λάρους[2], Κάλχαντα καὶ Ἰδομενέα καὶ Σθένελον, θάψουσι τοῦ Κερκάφου ὄρους ἐξοχαί, τουτέστιν ἡ Κολοφών, οὐ μακρόθεν τοῦ Ἄλεντος ποταμοῦ· τὸν μὲν τοῦ Μολοσσοῦ καὶ Κυπέως καὶ Κοίτου Ἀπόλλωνος σκύμνον Κάλχαντα, τῆς θηλείας συὸς πλανηθέντα τῶν τόκων, ὅταν εἰς τὴν τῶν ἀγρίων σύκων μάχην σοφὴν ἄξας τὸν ἀνταγωνιστὴν Μόψον, σφαλεὶς ὑπνώσει τὸν πεπρωμένον θάνατον. Τὸν δὲ τέταρτον τὸν καλούμενον ἐκ τῶν ἀπογόνων τοῦ Διός, τὸν αὐτάδελφον τοῦ Ὀδυσσέως, τοῦ πεπλασμένως καλουμένου Αἴθωνος, Ἰδομενέα[3]. Τρίτον δὲ τὸν Σθένελον τὸν υἱὸν τοῦ Καπανέως, τὸν τὰ τείχη τῶν Θηβῶν ποτε τῇ ἰσχυρᾷ δικέλλῃ σκάψαντα, ὅντινα ὁ Γογγυλάτης καὶ Βουλαῖος καὶ Μυλεὺς Ζεὺς ἀνεῖλε, τῇ τοὺς ἀσεβεῖς ἐλαυνούσῃ μάστιγι, ἤτοι τῷ κεραυνῷ, συνθλάσας τὴν κεφαλήν· ὁπηνίκα τοὺς ἀδελφούς, Ἐτεοκλέα καὶ Πολυνείκην, τοῦ ἰδίου πατρὸς Οἰδίποδος, αἱ τῆς Νυκτὸς θυγατέρες Μοῖραι πρὸς πόθον καὶ ἔρωτα τοῦ ἑαυτοὺς ἀποκτεῖναι ὥπλισαν[4]. Δύο δὲ οἱ τοῦ Ἀπόλλωνος κύνες, καθὸ μάντεις, ὁ Ἀμφίλοχος καὶ ὁ Μόψος, παρὰ ταῖς ἐκβολαῖς τῶν ῥείθρων τοῦ Πυράμου πολεμήσαντες τὴν ἐσχάτην μάχην, ταῖς ὑφ' ἑαυτῶν σφαγαῖς ἀνῃρέθησαν, ὑπὸ ταῖς πτέρναις τῶν πύργων τῆς Παμφυλίας πόλεως. Ὑψηλὸς δὲ παραθαλάσσιος πύργος ἐν τῷ μεταξὺ τῆς Μεγαρσίας τῶν ἁγνῶν θυμάτων[5] οἰκοδομηθήσεται, ὅπως μὴ βλέπωσι, μηδὲ τῶν κατωτέρων καὶ ἐν Ἅιδου τὰς ἕδρας εἰσδύντες, τοὺς ἀλλήλων τάφους τῷ φόνῳ μιανθέντας. Οἱ πέντε δέ, Τεῦκρος, Ἀγαπήνωρ, Ἀκάμας, Πράξανδρος, Κηφεύς, εἰς τὴν Σφήκειαν καὶ Κεραστίαν, ἤτοι τὴν Κύπρον, καὶ τὴν Σάτραχον πελάσαντες καὶ παραγε-

1) Cod. in margine: περὶ Φοίνικος. 2) In margine: περὶ Ἰδομένεως.
3) Cod. Ἰδομενέως. 4) Cod. ὥπλισε. 5) Fortasse μνημάτων.

νόμενοι, τήν τε γῆν τοῦ Ὑλάτου ἤτοι Ἀπόλλωνος, τὴν Ἀφροδίτην παροικήσουσι, τὴν ἐν Ζηρυνθίᾳ τιμωμένην. Ὁ μὲν Τεῦκρος ὁ ἐμὸς συγγενής, τὸ τοῦ πώλου, ἤτοι Τελαμῶνος[1], νόθον γέννημα, ἡ τῶν συγγενῶν βλάβη, ταῖς τοῦ πατρὸς Τελαμῶνος μομφαῖς καὶ ὕβρεσιν ἐξελαθήσεται[2] τοῦ διφυοῦς Κέκροπος τῶν σπηλαίων, ἤτοι τῆς Σαλαμῖνος, καὶ τῶν ὑδάτων τοῦ Βωκάρου ποταμοῦ, ὡς τοῦ ὁμογαστρίου φονεὺς Αἴαντος, τοῦ τὴν μανίαν τὴν πολεμικὴν ἐν ταῖς ποίμναις ἐκχέαντος· ὅντινα τοῦ ὠμοφάγου λέοντος ἡ δορὰ τῷ σιδήρῳ τρωτὸν οὐκ ἐποίησεν ἐν τῇ μάχῃ, μίαν πρὸς τὸν Ἅιδην καὶ τοὺς θνητοὺς κεκτημένον ὁδόν, ἣν ἡ Σκυθικὴ φαρέτρα ἔκρυψεν[3], ὁπηνίκα κατακαίων θύματα ὁ λέων, ἤτοι Ἡρακλῆς, τῷ Διΐ, τῷ ἰδίῳ πατρί, ἔλεγε τὰς εὐπροσδέκτους εὐχὰς καὶ παρακλήσεις, τὸν σκύμνον, ἤτοι τὸ βρέφος, Αἴαντα, τοῦ φίλου καὶ τοῦ ἐρωμένου Τελαμῶνος παρὰ ταῖς ἀγκάλαις πήλας καὶ τινάξας. Οὐ γάρ τι πείσει τὸν πατέρα, ὡς ὁ διάπυρος καὶ χαλεπὸς πρηστὴρ τῆς μάχης, οὐδέποτ' εἰς φυγὴν τραπείς, ὁ βαρύφρων καὶ ἰσχυρόφρων ταῦρος Αἴας, τῷ τοῦ πολεμικωτάτου τῶν ξένων δώρῳ ἔπληξε κατὰ τὸ σπλάγχνον, μάτην (sic) κυβιστήσας[4] καὶ πηδήσας χαλεπὸν πήδημα πρὸς αὐτουργοῦ ξίφους σφαγάς. Ἐλαύνει δὲ τῆς πατρίδος πόῤῥω τὸν τοῦ Τραμβήλου ἀδελφοῦ ὁμοπάτριον Τεῦκρον, ὅντινα ἡ συγγενὴς Ἡσιόνη ἐκ τοῦ πατρὸς Τελαμῶνος γεννᾷ, δοθεῖσα ἀπαρχὴ τοῦ πολέμου τῷ καταστρέφοντι τοὺς πύργους τῆς Τρωάδος· ἥντινα δή ποτε ἐν ταῖς ῥητορείαις τῶν δημοτῶν, ἤτοι τοῦ πλήθους, σταθεὶς ὁ Φοινοδάμας ῥήτωρ, ὁ τὰς τρεῖς θυγατέρας σπείρας, τῷ φοβερῷ κυνί, ἤτοι τῷ κήτει, ποικίλην (sic) τροφὴν διήγειρεν ἀποστεῖλαι καὶ παραδοῦναι, τῷ πᾶσαν τὴν γῆν τῷ ὕδατι τῆς θαλάσσης πηλοποιοῦντι, ὅταν ἐκ στόματος ἐρεύγηται τοῦ κλύδωνος τῇ σφοδρᾷ τρικυμίᾳ σαλεύων πᾶν ἔδαφος. Ὁ δὲ κύων ἀντὶ ὀρνέου θαλαττίου σκορπίον, ἤτοι τὸν Ἡρακλέα, τῷ λαιμῷ σπασάμενος, τῷ Νηρεῖ τῆς κακῆς ὠδῖνος, ἤτοι τοῦ ἐμέτου, τὸ βάρος ἔκλαυσε, χρῄζων ἐπερωτῆσαι τῶν συμφορῶν καὶ βλαβῶν συμβουλίαν.

---

1) Incipit Cod. fol. 47. vers.

2) Cod. ἐξαναθήσεται.

3) In margine: πῶς ἀποθνήσκει ὁ Αἴας.

4) Fortasse κατακυβιστήσας.

478—493. Ὁ Ἀγαπήνωρ[1] δέ, ὁ ἀγρότης καὶ χερσαῖος καὶ αὐτόδαιτος, δεύτερος τὴν νῆσον Κύπρον παραγενόμενος, ὁ ἐκ τῶν ἀπογόνων τῆς δρυός, τῶν εἰς λύκους μεταμορφωθέντων, τῶν κρεανομησάντων τὸν Νύκτιμον, τῶν πρὸ τῆς σελήνης τῆς ἐν Ἀρκαδίᾳ παραγενομένης, δρυΐνων σιτίων τροφὴν τῇ σποδῷ κατὰ τὸν ἄκρον χειμῶνα τοῦ πυρὸς θερμανάντων, χαλκοῦ εὕρεσιν ὀρύξει, καὶ τὸν ἐκ λάκκου ἐπισπάσεται[2], τῇ δικέλλῃ πᾶν τὸ ὄρυγμα μεταζητῶν καὶ διερευνῶν. Οὗτινος τὸν πατέρα Ἀγκαῖον ἀπέκτεινεν ὁ ὀξὺς ὀδοὺς τοῦ χοίρου, ἐν ταῖς περιφερείαις τοῦ βουβῶνος θραύσας τὸ σῶμα· ἔγνω δὲ ὁ ταλαίπωρος σὺν τῷ κακῷ τραύματι μαθὼν τὸ ἔπος· ὡς πολλὰ ἐν μέσῳ κυλίει ἡ πάντων τῶν ἀνθρώπων μήτηρ Μοῖρα τοῦ χείλους καὶ τῶν ἐκ ποτηρίων πομάτων. Αὐτὸς δὲ ὁ ὀδούς, περιφραστικῶς ὁ χοῖρος· τῷ λευκῷ περιλευκαινόμενος ἀφρῷ, πεπτωκὼς τὸν ἀποκτείναντα[3] τρώσας ἀνιάτως κατὰ τὸ ἄκρον σφυρὸν τοῦ πολεμικοῦ Ἀγκαίου.

494—534. Τρίτος δὲ Ἀκάμας[4], ὁ υἱὸς τοῦ Γίγαντος Θησέως, τοῦ ἐκ τῆς κοίλης πέτρας τὰ ὅπλα τοῦ πατρὸς αὐτοῦ Αἰγέως ἀψαμένου καὶ λαβόντος, ὅντινά ποτε εἰς κοίτην λαθραίαν αὐτοπροαίρετος ἡ ἐκ τῆς Ἴδης ἔλαφος, ἀλληγορικῶς δὲ ἡ Λαοδίκη· ἥτις ζῶσα εἰς τὸν Ἅιδην καταβαίνουσα, παραγενήσεται, τοῖς θρήνοις ἐκτακεῖσα καὶ ἐκλιποῦσα ἡ μήτηρ τοῦ Μουνίτου· ὅντινα δήποτε ἐν ἀγρῷ ἀναστρεφόμενον τῆς Θρᾴκης ὄφις ἀποκτενεῖ τὴν πτέρναν τῷ ἀγρίῳ βέλει πλήξας, ὅταν αἰχμάλωτος ἡ Αἴθρα, ἡ τοῦ πατρὸς τοῦ Ἀκάμαντος Θησέως μήτηρ, εἰς τὰς χεῖρας τοῦ πατρὸς Ἀκάμαντος τὸν ἐν κρυφεῖ τεθραμμένον νεωστὶ γεγεννημένον σκύμνον, ἤτοι τὸν Μούνιτον, βάλῃ· ᾗτινι μόνῃ τῇ Αἴθρᾳ τὸν δουλικὸν ζυγὸν οἱ τῆς Ἀττικῆς λύκοι Διόςκουροι, Πράξανδρος καὶ Κηφεύς (sic), περιέθηκαν, ἀντὶ τῆς ἁρπαγείσης ὁρμητικῆς καὶ Μαινάδος Ἑλένης ποινήν. Ὧντινων τοῦ λεπύρου τοῦ ᾠοῦ τὸ περιφερὲς διχοτόμημα τὴν κεφαλὴν σκεπάσει, σωτήριον φύλαγμα[5] τοῦ φονικοῦ δόρατος. Τὰ δὲ λοιπὰ τῆς Ἀττικῆς ἡ ἐκ τῶν σκωλήκων βεβρωμένη ἀσάλευτος σφραγὶς τῶν οἴκων τηρήσει, θαῦμα ἐγχωρίοις μέγα· ἅτινα δὲ ἔργα πρὸς τὰς τῶν ἀστέρων κλίμακας καὶ ἀναβάσεις τὸν

---

1) In margine: περὶ Ἀγαπήνορος.
2) Deest βῶλον. 3) Adde ἔκτεινε.
4) In margine: περὶ Ἀκάμαντος. 5) Incipit Cod. fol. 48. rect.

δρόμον στήσει τοῖς δυσὶν ἡμιθνήτοις καὶ ἡμιθέοις, κατ' ἐπωνυμίαν Λαπερσίοις. Οὔςτινας, ὦ Ζεῦ, μὴ ὤφελές ποτε εἰς τὴν ἐμὴν πατρίδα βοηθοὺς ἀποστεῖλαι τῇ *διςαρπάγῳ*, τῇ *δὶς ἁρπαγείσῃ κρεκί*, τῇ κακονύμφῳ· μηδὲ τὰς ἐπτερωμένας ναῦς εὐτρεπίσαντες ἀπὸ τῆς ἄκρας πρύμνης γυμνὸν ταχὺν πόδα [1] εἰς τὴν τῶν Βεβρύκων καὶ Τρώων ἔξοδον ῥίψειαν· μηδὲ οἱ τούτων τῶν λεόντων, ἤγουν τῶν Διοςκούρων, ἰσχυρότεροι, Ἴδας καὶ Λυγκεύς, οἱ κατὰ τὴν δύναμιν ἀσύγκριτοι, οὕςτινας ὁ Ἄρης ἐπόθησε, καὶ ἡ ἔνδοξος Ἐνυώ, καὶ ἡ Τριτογένεια θεά, καὶ Βοαρμία καὶ Λογγᾶτις καὶ Ὁμολωῒς *τῇ μάχῃ* (sic). Οὐκ ἂν ἅτινα οἱ χειροτέχναι δύο ἐργάται, ὁ Δρύμας, ἤγουν Ἀπόλλων, καὶ ὁ Πρόφαντος, ἤγουν ὁ Ποσειδῶν, ὁ τῆς Κρώμνης χώρας βασιλεύς, ᾠκοδόμησαν τῷ ψευδωμότῃ Λαομέδοντι βασιλεῖ, ἐν μιᾷ ἡμέρᾳ διήρκεσε τοῖς πορθηταῖς λύκοις, ἤγουν τῷ Ἴδᾳ καὶ τῷ Λυγκεῖ, ὑπομεῖναι τὴν βαρεῖαν καὶ ἀφανιστικὴν προςβολήν, καίπερ πρὸ τῶν πύργων τὸν Καναστραῖον τὸν μέγαν ἐπιχώριον Ἕκτορα γίγαντα, κατὰ τῶν πολεμίων μέγαν μοχλόν, ἔχοντα, καὶ τὸν πρῶτον προθυμούμενον τῇ εὐστόχῳ βολῇ πλῆξαι τὸν ὀλετῆρα τῶν ποιμνίων, ἤτοι τῶν Ἑλλήνων, Πρωτεσίλαον. Ὅτου δήποτε ὁ θερμὸς καὶ θρασὺς κίρκος *ἐγκαινίσει* τὸ δόρυ, πήδημα ταχὺ βαλών, Ἑλλήνων πολλῶν κράτιστος· ᾧτινί ποτε κατασκευάζει τοὺς τάφους ἡ ἀκτὴ τοῦ Δολόγκων ἔθνους ἀποθανόντι *ηὐτρεπισμένους* [2], καὶ ἡ Μαζουσία, τὸ ἀκρωτήριον, ἡ προέχουσα τοῦ χερσαίου κέρατος, τῆς Χεῤῥονήσου.

535 — 583. *Ἀλλ' ἔστι γάρ τις, ἔστι καὶ παρ' ἐλπίδα ἡμῖν ἀρωγός*· ἀλλὰ γάρ ἐστιν ἡμῖν καὶ παρ' ἐλπίδα βοηθὸς ὁ πρᾶος θεὸς ὁ Δρύμνιος, ὁ *Προμηθεύς* (sic), ὁ Αἰθίοψ, ὁ Γυράψιος, Ζεύς· ὅςτις, ὅταν πλανήτην καὶ ἅρπαγα καὶ βλαπτικὸν καὶ καταῤῥακτῆρα πικρὸν Ἀλέξανδρον δέξωνται ἐν τοῖς οἴκοις οἱ περὶ τὸν Ἴδαν καὶ Διόσκουροι, ἐν τῇ εὐωχίᾳ, καὶ τῇ κομιδῇ τῶν καρπῶν, ταῖς σπονδαῖς ἐξιλεῶνται τὸν μὴ στέρξαντα Κράγον, ἤτοι τὸν Δία, οἱ χαλεπὰ καὶ μισητὰ παθεῖν μέλλοντες, θήσει βαρὺν θόρυβον ἐν ταῖς συντυχίαις μέσαις. Καὶ πρῶτα μὲν τοῖς λόγοις ἀλλήλους ὀργίλως βρύξουσι, ταῖς λοιδορίαις καὶ ὕβρεσι τετραχυσμένοι [3]·

---

1) Cod. coniunctim, ταχύποδα.

2) Scholiastes interpretatus est lectionem εὐπρεπεῖς.

3) Cod. τετραχυμένοι.

δεύτερον δὲ πολεμήσουσιν οἱ αὐτανέψιοι Τυνδάρεως υἱοὶ καὶ Ἀφαρέως τῶν ἀδελφῶν ταῖς ἀνεψιαῖς, ἤτοι ταῖς τοῦ θείου Λευκίππου θυγατράσιν ὄρνισιν, τουτέστι Φοίβῃ καὶ Ἱλαείρᾳ, βοηθῆσαι τοὺς βιαίους καὶ κλωπιμαίους καὶ ἁρπακτικοὺς τῶν συγγενῶν γάμους αἰτοῦντες. Ἥτις (sic) δὴ πολλὰ βέλη ὁ ποταμὸς Κνηκείων ταῖς τόλμαις τῶν ἀετῶν ῥιφέντα, ἤτοι τῶν περὶ τὸν Ἴδαν καὶ Λυγκέα καὶ Διοςκούρους, θεάσεται, ἄπιστα καὶ θαυμαστὰ τοῖς Μεσηνιακοῖς ἀκούειν· Φηραὶ γὰρ πόλις τῆς Μεσηνιακῆς, ἀφ' ἧς οἱ περὶ Ἴδαν καὶ Λυγκέα. Ὁ μὲν Ἴδας τῷ ἀπὸ κρανείας δόρατι ὑπὸ τὸ κοῖλον στέλεχος τῆς βαθείας δρυὸς τρώσας τὸν πρῶτον καὶ δεύτερον[1] λέοντα τὸν Κάστορα, τῷ ταύρῳ, ἤτοι τῷ Ἴδᾳ, συμβαλόντα πόλεμον, διαφθερεῖ. Ὁ δὲ Πολυδεύκης τῷ ὁλοσιδήρῳ τὰ πλευρὰ τοῦ βοός[2], ἤτοι τοῦ Λυγκέως, κλινεῖ πρὸς τὴν γῆν· ἐπὶ δὲ τῷ Πολυδεύκῃ δευτέραν πληγὴν ὁ καταπληκτικὸς κριός, τουτέστιν ὁ Ἴδας, βαλεῖ, στήλην ῥίψας ἐκ τῶν Ἀμυκλαίων τάφων. Ὁμοῦ δὲ ὅ τε χαλκὸς καὶ αἱ βολαὶ τῶν κεραυνῶν ταύρους, ἤτοι τοὺς Τυνδαρίδας καὶ Ἀφαρητιάδας, κατακόψουσιν· ὥντινων τοῦ ἑνὸς τὴν δύναμιν οὐδ' ὁ Σκιαστὴς καὶ Ὀρχιεὺς Τελφούσιος Ἀπόλλων ἐμέμψατο ἐν ταῖς μάχαις, ἀλλ' ἐθαύμασε κυκλώσας καὶ ...μίσας[3] τὸ τόξον. Καὶ τοὺς μὲν ὁ Ἅιδης, τοὺς δὲ αἱ ἐκ τοῦ Ὀλύμπου πλάκες, ἤτοι οἱ κεραυνοὶ (leg. οὐρανοί), παρὰ μίαν ἡμέραν[4] ἀεὶ δεξιώσονται τοὺς ξένους, φιλαδέλφους, ἀθανάτους τε καὶ θνητούς. Καὶ τούτων μὲν ἡμῖν ὁ θεὸς τὸ δόρυ κοιμήσει, μικρόν τι μηχάνημα ἐν τοῖς κακοῖς χαριζόμενος· τῶν δὲ λοιπῶν Ἑλλήνων ἀπροςπέλαστον καὶ πολὺ τῇ χειρὶ κινήσει νέφος, ὥντινων οὐδὲ ὁ τῆς Ῥοιοῦς υἱὸς Ἶνις (sic) κοιμίζων τὴν δύναμιν κατάσχῃ τὸν ἐνναετῆ χρόνον ἐν τῇ νήσῳ μένειν προτρεπόμενος, ταῖς θεοπροπίαις πεισθέντας· τροφὴν δὲ ἄφθονον καὶ πολλὴν πᾶσι λέγων παρέξειν τὰς τρεῖς θυγατέρας τήν τε Οἰνὼ καὶ Σπερμὼ καὶ τὴν Ἐλαΐδα, ὁπόσοι τὴν ἐξοχὴν τοῦ Κυνθίου ὄρους μένοντες διατρίβουσιν ἐγγὺς τοῦ Ἰνωποῦ ποταμοῦ, τοῦ τὸ Αἰγύπτιον τοῦ Νείλου ἕλκοντος πόμα. Ἅςτινας δὴ ὁ Πρόβλαστος καὶ θρασὺς Διόνυσος ἐδίδαξε τῆς Δημητριακῆς τρο-

---

1) Corrige τὸν ἕνα τῶν δύο. Auctor paraphraseos scripserat: τὸν α τῶν (sive ἐκ) β. quam compendiosam scripturam librarius noster non eo, quo debuit, modo intellexit.

2) Deest ἀναῤῥήξας. 3) Syllaba deest. 4) Cod. μιᾷ ἡμέρᾳ.

φῆς κατασκευαστρίας, οἶνόν τε ἐξεργάζεσθαι καὶ τὸ ἀλειφόμενον ἔλαιον, τὰς οἰνοτρόπους τοῦ Ζάρηκός τε ἀπογόνους φάβας ὄρνιθας. Αἵτινες καὶ τοῦ στρατοῦ τὴν ἰσχυρὰν βούπειναν τῶν ξένων κυνῶν καταπονοῦσαν ἰάσονται, παραγενόμεναί ποτε εἰς τὸ κοιμητήριον τῆς θυγατρὸς τοῦ υἱοῦ τοῦ Ἄρεος[1] Σιθῶνος, ἤγουν τὸ Ῥοίτειον.

584—609. *Καὶ ταῦτα μὲν μίτοισι χαλκέων πάλαι στρόμβων ἐπιῤῥοιζοῦσι γηραιαὶ κόραι·* καὶ ταῦτα μὲν μίτοισι καὶ κλώσμασι τῶν χαλκῶν ἀτράκτων ἐπινήθουσι αἱ παλαιαὶ κόραι, ἤτοι αἱ Μοῖραι· ὁ Κηφεὺς δὲ καὶ ὁ Πράξανδρος οὐ ναυκληρίας λαῶν βασιλεῖς, ἀλλ' ἀκατονόμαστοι γενεταί, πέντε καὶ τέσσαρες[2] εἰς τὴν γῆν παραγενήσονται τῆς θεᾶς Ἀφροδίτης, τῆς βασιλίσσης τῶν Γόλγων· ὧν ὁ μὲν Πράξανδρος Λακώνων πλῆθος ἄγων ἀπὸ τῆς Θεράπνης πόλεως· ὁ δὲ ἕτερος, ἤγουν ὁ Κηφεύς, ἀπὸ τῆς πόλεως Ὠλένης, καὶ τῆς φυλῆς[3] τῶν Βουραίων καὶ Ἀχαιῶν τοῦ στρατοῦ ἡγεμών.

Ὁ δὲ Διομήδης παρὰ τὴν παγκληρίαν τῶν Δαυνιτῶν, τὸ Ἰταλικὸν ἔθνος, τὴν Ἀργυρίππαν πόλιν, τουτέστι τὸ Ἄργος τὸ Ἵππιον[4], οἰκοδομήσει, πικρὰν καὶ χαλεπὴν τὴν οἰωνόμικτον τῶν φίλων μοῖραν ἐπτερωμένην θεασάμενος· οἵτινες τὴν θαλασσίαν διατριβὴν ἐπαινέσουσι καὶ ποθήσουσι, ἁλιέων δίκην, κύκνοις εὐοφθάλμοις τὸ σῶμα ὁμοιωθέντες, τοῖς χείλεσι δὲ ἀγρεύοντες τὰ ἔκγονα τῶν ἰχθύων, τὴν ἐπώνυμον νησίδα τοῦ βασιλέως καὶ ἄρχοντος Διομήδους κατοικήσουσι, θεάτρῳ ἐοικυῖαν[5], πρὸς ἡμικυκλίῳ τῷ ὑψηλῷ ἀγυιὰς ποιήσαντες ταῖς ἀσφαλέσι κατατομαῖς ἀλλεπαλλήλους νεοσσιάς, Ζῆθον ἐκμιμούμενοι. Ὁμοῦ δὲ εἰς τὴν ἄγραν καὶ εἰς τὴν τῆς κοίτης νάπην, ἤτοι ἐξοχήν, ἐν νυκτὶ γένωνται, πάντα φεύγοντες ἀνθρώπων βάρβαρον ὄχλον· ἐν δὲ Ἑλληνικοῖς ἱματίοις τῶν κόλπων ἐπαύλεις τὰς εἰθισμένας ζητοῦντες, καὶ σταλάγματα κυκεώνων καὶ ἀπὸ χειρῶν καὶ ἀπὸ τροφῆς κλάσματα ἄρτων λήψονται, προςφιλὲς ἀσήμως φθεγγόμενοι, τῆς πάλαι διαίτης οἱ ταλαίπωροι μεμνημένοι.

---

1) Cod. ἀέρος.
2) Librarius iterum male intellexit literas ε' καὶ δ'.
3) Scholiastes legisse videtur δήμου τε Βουραίοισιν.
4) Cod. Ἵππειον.
5) Legit θεατρόμορφον.

610—641. *Τῆς Τροιζηνίας δέ, ἤτοι τῆς Ἀφροδίτης, τὸ τραῦμα, τῆς τε ἐκ τόπου εἰς τόπον φοιτήσεως καὶ πλάνης, καὶ τῶν κακῶν βλαβῶν ἔσται τῷ Διομήδει αἴτιον, ὅταν ἡ θρασεῖα πόρνη καὶ ἀναιδὴς πρὸς κοίτας Ἱππολύτου ἐκμανῇ Αἰγιάλεια. Ὁ ναὸς δὲ αὐτὸν τῆς Ὁπλοσμίας, ἤτοι τῆς Ἀθηνᾶς, τοῦ θανάτου ἐκσώσει, ταῖς σφαγαῖς ὄντα ἑτοῖμον. Ἐπὶ κολοσσοῦ δὲ βεβηκὼς ἐν ταῖς πλαξὶ τῶν Ἰταλῶν σταθείς, στηρίξει τὰ σκέλη ἐπὶ λίθων τοῦ* τειχοποιοῦ τῶν ἐδαφῶν *τοῦ Ἀμοιβέως, ἤτοι τοῦ Ποσειδῶνος, τὸν ἐξισωτὴν τῆς νεὼς ἐκβαλὼν λίθον. Τῇ κρίσει δὲ τοῦ ἀδελφοῦ Ἀλαίνου βλαβεὶς καὶ ἀδικηθείς, περὶ τὰς γᾶς* (sic) *εὐχὰς ἀληθεῖς καὶ ἀρὰς βαλεῖ, τῆς Δήμητρος μηδέποτε ἀναβῆναι καὶ ἀναδοῦναι καὶ ἀναβλαστῆσαι Δημητριακὸν καρπόν, τὰς ἀρόσεις ἐπιμελομένου τῷ ὑετῷ τοῦ Διός, ἂν μή τις αὐτοῦ τῶν Αἰτωλῶν ῥίζαν ἀποσπάσας τὴν χέρσον ἐργάσηται, τοῖς βουσὶ τοὺς αὔλακας διατεμὼν καὶ διακόψας. Ταῖς ἀκινήτοις δὲ στήλαις κατὰ τὸ ἔδαφος κρατήσει καὶ σαλεύσει ὁ Δαῦνος, ἃς οὐδεὶς τῶν ἀνθρώπων ἐκ βίας καὶ δυνάμεως ὀλίγον μετακινήσας καυχήσεται. Ὄντως γὰρ ἄνευ πτερῶν αὗται αἱ στῆλαι παλιμπόρευτοι*[1] *πρὸς τὴν βάσιν γενήσονται, τὰ χείλη τοῦ ποταμοῦ μὴ ἔχοντα* (sic) *πόδας τοῖς ἴχνεσι διακοπεῖσαι. Θεὸς δὲ παρὰ πολλοῖς ὁ Διομήδης ὑψηλὸς φημισθήσεται, ὁπόσοι παρὰ τὸ Ἰοῦς, ἤγουν τὸ Ἰόνιον πέλαγος, ἢ τὸν κόλπον, οἰκοῦσι τὴν γῆν, τὸν* φθείροντα *τοὺς Φαίακας δράκοντα ἀποκτείνας.*

*Οἱ δὲ Βοιωτοὶ*[2] *τὰς περικλύστους καὶ ὑφάλους πέτρας καὶ Γυμνασίας νήσους τῆς Τυρσηνίας, δερματίνους χιτῶνας ἐνδεδυμένοι, καρκίνων δίκην πεπλωκότες, ἄνευ χλαίνης καὶ ἄνευ ἱματίου κακοπαθήσουσιν ἀνυπόδετοι τὸν βίον, τρισσαῖς διπλόκοις σφενδόναις καθωπλισμένοι. Ὧντινων αἱ μητέρες τὴν ἕκαθεν καὶ πόῤῥωθεν βόλου*[3] *τέχνην ἄνευ τροφῆς διδάξουσι τὰς νηπίους* γονάς, *τουτέστι τὰ τέκνα. Οὐδεὶς γὰρ αὐτῶν γεύσεται τῷ στόματι τροφήν, πρὶν ἂν κρατήσῃ τῷ εὐστόχῳ λίθῳ, ἤτοι τῇ εὐστοχίᾳ, τὸν πλαστὸν ἄρτον ὑπὲρ τῆς ὑποπλάτου βάσεως σημεῖον κείμενον τοῦ σκοποῦ.*

642—665. **Καὶ τοὶ μὲν ἀκτὰς ἐμβατήσονται λεπράς·** *καὶ οὗτοι μὲν τὰς ἀκτὰς τὰς ὑπὸ τῆς θαλάσσης*

---

1) Incipit Cod. fol. 49. rect.

2) In margine: *περὶ Βοιωτῶν.* 3) Cod. *βάλλου.*

*βεβρωμένας, τὰς τοὺς Ἴβηρους τρεφούσας ἐγγὺς τῆς Ταρτησσοῦ πύλης, ἤτοι τῆς ἐπὶ τῶν Γαδείρων νήσου, ἐμβατεύσουσι καὶ παραγενήσονται, τῆς παλαιᾶς πόλεως τῶν Βοιωτῶν Ἄρνης γεννήματα, τῶν Τεμμίκων οἱ πρώταρχοι· τὴν Γραῖαν πόλιν τῶν Βοιωτῶν, ἤτοι τὴν Τάναγραν, ποθοῦντες, καὶ τῆς Λεοντάρνης πόλεως ἐξοχάς· καὶ τὴν Σκῶλον πόλιν, καὶ τὸ ἔδαφος τοῦ Ὀγχηστοῦ, καὶ τὸ ῥεῦμα τοῦ Θερμώδοντος ποταμοῦ, καὶ τὸ ὕδωρ τοῦ Ὑψάρνου ποταμοῦ.*

*Τοὺς δὲ περὶ τὸν Ὀδυσσέα περί τε τὴν Σύρτιν καὶ τὰς Λιβυστικὰς πλάκας, περιφραστικῶς δὲ τὴν Λιβύην, καὶ τοῦ πορθμοῦ τοῦ Τυρσηνικοῦ τὴν συνδρομήν, ἐκ μεταξὺ τοῦ Τυρσηνικοῦ καὶ τοῦ Ἀδριαντικοῦ πελάγους, καὶ τοὺς σκοπέλους τοὺς ναυτιλοφθόρους τῆς μιξόθηρος Σκύλλας, τῆς προαποθανούσης ἐκ τῶν χειρῶν Μηκιστέως, ἤγουν τοῦ Ἡρακλέος, τοῦ τὴν δορὰν τοῦ λέοντος πέπλον ἔχοντος, τοῦ σκάψαντος τὰς κόπρους τῶν Αὐγείου βοῶν, τοῦ ἀγαγόντος τὰς βοῦς τοῦ Γηρυόνος, τοὺς τοὺς ὑψηλοὺς τόπους τῶν ἐκ τῶν Ἁρπυιῶν γεγενημένων Σειρήνων ἀηδόνων πλανηθέντας, ὠμοὺς ἐσθιομένους ὑπὸ τοῦ Κύκλωπος, ὁ πάντας ὑποδεχόμενος Ἅιδης ἀγρεύσει, βλάβαις καὶ τιμωρίαις παντοίαις διεσπαραγμένους, ἕνα τῶν φθαρέντων φίλων καταλιπὼν ἄγγελον, τὸν δελφῖνος τύπον ἐπὶ τῆς ἀσπίδος ἔχοντα Ὀδυσσέα, τὸν κλέπτην τῆς Φοινίκης θεᾶς Ἀθηνᾶς. Ὅςτις θεάσεται μὲν τοῦ μονοφθάλμου χάρωνος, ἤτοι τοῦ Κύκλωπος, τὰς στέγας καὶ τὰς οἰκίας, οἴνου ἔκπωμα τῷ κ ρ ε ω φ ά γ ῳ ταῖς χερσὶ προτείνων τὸν ἐπιδείπνιον πότον. Θεάσεται δὲ τοὺς καταλοίπους τῶν Λαιστρυγόνων ἐκ τῶν τοξευμάτων τοῦ τὰς θανατηφόρους Μοίρας ἀμυνομένου καὶ παλαίσαντος τὸν Δία, Πευκέως Ἡρακλέος. Οἵτινες πάντα συντρίψαντες τ ῇ ε ὐ τ ό ρ ν ῳ σ κ ά φ ῃ, τῷ περιφερεῖ λιμένι, τῇ σχοίνῳ περονήσουσι καὶ διαπλέξουσιν ἰχθύων ἄγραν κακήν, ἤτοι τοὺς περὶ τὸν Ὀδυσσέα.*

666 — 819. *Ἄλλος δὲ ἐπὶ ἄλλῳ κάματος δυςφόρητος καὶ ταλαίπωρος μενεῖ τῷ Ὀδυσσεῖ, τοῦ ἔμπροσθεν ἀεὶ χαλεπώτερος καὶ ὀλεθριώτερος. Ποία ἴλιγξ τοῦ θαλαττίου ὕδατος οὐ γεύσεται καὶ εὐωχηθήσεται τῶν νεκρῶν; ποῖος δὲ τιμωρητικὸς δαίμων, ἐξ ἀνθρώπου καὶ κυνὸς μεμιγμένη κύων; τίς οὐκ ἀηδὼν στεῖρα καὶ παρθένος Σειρὴν*[1] *Κενταυροκτόνος, Αἰτωλὶς ἢ Κουρῆτις, τῷ ποικίλῳ μέλει πείσει τακῆναι ἢ*

1) Cod. *Σειρῆν*.

*ἰσχνωθῆναι τὰς σάρκας ἀ γ ε ύ σ τ ο υ τροφῆς; Ποίαν δὲ εἰς θηρία μεταπλάττουσαν τοὺς ἀνθρώπους Κίρκην οὐ θεάσεται,' τὴν δράκαιναν τὴν μιγνύουσαν τῷ ἀλεύρῳ τὰ φάρμακα ποικίλα, καὶ συμφορὰν θηριόμορφον; οἱ δὲ περὶ τὸν Ὀδυσσέα, δυςθάνατοι στενάζοντες τὴν βλάβην, ἐν ταῖς τῶν χοίρων κοίταις τὰ τῶν σταφυλῶν καὶ ῥοιῶν ἔνδοθεν ὄντα σπέρματα, τῇ ἐκ σίτου τροφῇ συμμεμιγμένα, καὶ τῶν σταφυλῶν λέπυρα φάγονται. Ἀλλ' αὐτὸν τὸν Ὀδυσσέα τῆς βλάβης ἡ ῥίζα σαώσει, καὶ ὁ Ἑρμῆς ἀναφανεὶς ὁ Νωνακριάτης[1] καὶ τρικέφαλος καὶ φαιδρὸς θεός. Παραγενήσεται δὲ εἰς τὸ σκοτεινὸν καὶ λεῖον πεδίον τῶν νεκρῶν, καὶ τὸν γέροντα καὶ μάντιν Τειρεσίαν ζητήσει, τὸν τῶν γυναικῶν καὶ ἀνδρῶν τὰς συνουσίας ἐπιστάμενον. Ταῖς ψυχαῖς θερμὸν αἷμα τῷ βόθρῳ σπείσας καὶ ῥάνας, καὶ τοῦ ξίφους τὴν προςβολὴν πήλας καὶ σείσας, τοῖς ὑποταρταρίοις φόβον, ἀκούσει ἐκεῖθεν[2] ἀσθενοῦς καὶ λεπτοῦ λάρυγγος ἀποφθέγμασιν. Ἐκεῖ τῶν Γιγάντων νῆσος καὶ πέριξ θ ά λ α σ σ α, καὶ τὸ τοῦ ἀγρίου Τυφῶνος δέμας, τῷ βρασμῷ ζέουσα δ έ χ ε τ α ι τὸν Ὀδυσσέα ἓν πλοῖον ἔχοντα. Ἐν ᾗ νήσῳ τὸ τῶν πιθήκων δύςμορφον τοσοῦτον γένος ὁ τῶν ἀφθάρτων καὶ ἀθανάτων Ζεὺς βασιλεύς, [3]ὀνειδισμὸν καὶ γέλωτα κατῴκισεν, οἵτινες πόλεμον διήγειραν τοῖς ἀπογόνοις τοῦ Κρόνου. Τοῦ κυβερνήτου δὲ τοῦ Βαίου τὸν τάφον παραλλάξας, ἤτοι τὴν Σικελίαν, καὶ τῶν Κιμμερίων ἐθνῶν τὰς ἐπαύλεις, καὶ τὴν Ἀχερουσίαν λίμνην τοῦ Ἅιδου τοῖς ῥεύμασιν ὀγκοῦσαν καὶ κυμαίνουσαν τοῦ οἴδματος καὶ κύματος τὴν ῥεῦσιν· καὶ τὴν Ὄσσαν τὸ ὄρος, καὶ τοῦ λέοντος, ἤτοι τοῦ Ἡρακλέος, τὰς χωστὰς ὁδοὺς τῶν βοῶν, καὶ τὸ ἄλσος τῆς Ὀβριμοῦς, ἤγουν τῆς Περσεφόνης, τῆς τοῦ Ἅιδου κόρης· τό τε πυριφλεγὲς ῥεῦμα, τουτέστι τὸν Πυριφλεγέθοντα τὸν ποταμόν, ὅπου ὁ δυςεξόδευτος Πολυδέγμων, ἤτοι τὸ ὄρος τῆς Ἰταλίας, ἐκτείνει πρὸς τὸν αἰθέρα τὴν κορυφήν· ἐξ οὗ τὰ παντοῖα νάματα καὶ ῥεύματα, πᾶσαι τῶν ἐσωτάτων αἱ πηγαὶ κατὰ τὴν Ἰταλικὴν γῆν ἕλκονται καὶ φέρονται. Καταλιπὼν δὲ τοῦ Ληθαιῶνος, ὄρους τῆς Ἰταλίας, ἀκρώρειαν, καὶ τὴν Ἄ ο ρ ν ο ν λίμνην, τὴν δίκην δεσμοῦ περιεσφιγμένην, καὶ ῥεῦμα τοῦ Κωκυτοῦ ποταμοῦ ὑ ψ ω θ ὲ ν[4] τῷ σκότῳ, τῆς μελαί-*

1) Incipit Cod. fol. 49. vers. Cod. *ὀνωνακριάτης.*
2) Desunt verba *πεμφίδων ὄπα λεπτήν.*
3) Deest *εἰς.* 4) Cod. *ὑψόθεν.*

νης Στυγὸς τὸ νᾶμα, ὅπου ὁ Ζεὺς τὰς τῶν ὁρκωμοσιῶν τοῖς ἀφθάρτοις θεοῖς καθέδρας κατεσκεύασεν· καὶ τὰς σπονδὰς ἀπαντλῶν τοῖς χρυσοῖς ποτηρίοις τὸ ὕδωρ, μέλλων τοὺς Γίγαντας καὶ τοὺς Τιτᾶνας διαπερᾶν, θήσει τῇ Περσεφόνῃ καὶ τῷ ξυνευνέτῃ αὐτῆς δῶρον τὴν περικεφαλαίαν, τῇ κορυφῇ τοῦ κίονος ἐφαρμόσας. Ἀποκτενεῖ δὲ τὰς τρεῖς θυγατέρας τοῦ υἱοῦ καὶ τῆς θυγατρὸς τῆς Τηθύος Ἀχελώου, τὰς ὁδοὺς (sic) τῆς μελῳδοῦ μητρὸς Τερψιχόρης ἀναμαξαμένας καὶ ανατυπουμένας[1], ταῖς αὐτοκτόνοις ῥιφαῖς ὑπὸ τῆς ἄκρας ἐξοχῆς πρὸς τὸ Τυρσηνικὸν κῦμα καὶ ῥεῦμα δυπτούσας τοῖς πτεροῖς, ὅπου τὰ τῶν Μοιρῶν λίνα, ἤγουν ἡ πεπρωμένη πικρὰ Μοῖρα ἄξει. Καὶ τὴν Παρθενόπην τοῦ Φαλάριδος τὸ τεῖχος, ἤτοι ἡ Νεάπολις, ἐκβεβρασμένην ὅ τε Γλάνις ποταμὸς τοῖς ῥεύμασιν δέξεται βρέχων τὴν γῆν. ὅπου τάφον δομήσαντες, ἤτοι οἰκοδομήσαντες οἱ ἐγχώριοι τῆς κόρης, λοιβαῖς καὶ θυσίαις βοῶν ἐτησίαις δοξάσουσι τὴν οἰωνὸν θεὰν τὴν Παρθενόπην. Τὴν δὲ προκειμένην ἀκτὴν εἰς τὴν θάλασσαν τοῦ Ποσειδῶνος, ἤτοι Ποσειδήϊον ἀκρωτήριον, Λευκωσία ῥιφεῖσα, τὴν ἐξ αὐτῆς ἐπώνυμον πέτραν, ἤτοι νῆσον, ἐποχήσεται ἐπὶ πολύ· ὅπου ὁ σφοδρώτατος ποταμὸς Ἶς, καὶ ὁ γείτων Λάρις, τὰ πόματα ἐξερεύγονται καὶ ἐκχέουσι. Ἡ Λίγεια δὲ εἰς τὴν Τέρειναν πόλιν τῆς Ἰταλίας ἐκπλεύσει[2] καὶ ῥιφήσεται, τὸν κλύδωνα νηχομένη. Ταύτην δὲ ἐν ταῖς ναυσὶ βαίνοντες ταῖς ψάμμοις καταχώσουσιν ἐν τοῖς αἰγιαλοῖς, ταῖς συστροφαῖς τοῦ Ὠκινάρου ποταμοῦ γείτονα καὶ ὅμουρον. Λούσει δὲ τὸν τάφον τοῖς νάμασιν ὁ ἰσχυρὸς βούκερως, ἤτοι ποταμός, τῆς ὀρνιθοποιοῦ Σειρῆνος λευκαίνων[3] τοῖς ῥεύμασιν. Τῇ πρώτῃ δὲ τῶν ἀδελφῶν θεᾷ Παρθενόπῃ ποτὲ ὁ κρατῶν καὶ ἄρχων πάσης τῆς Ἀττικῆς ναυαρχίας τοῖς πλέουσιν λαμπαδοῦχον βαλεῖ εἰς τὴν θάλασσαν δρόμον· ὃν ὁ τῶν Νεαπολιτῶν λαὸς αὐξήσει, οἵτινες παρὰ τὸ ἀκύμαντον σκέπασμα τῶν ὅρμων τοῦ Μισηνίου λιμένος τὰ τραχέα ἀκρωτήρια κατοικοῦσιν. Τοὺς ἀνέμους δὲ ἐν ἀσκῷ βοὸς συγκατακλείσας, ὀπισθορμήτοις βλάβαις ἀλώμενος, τῇ κεραυνίῃ[4] μάστιγι συγκατακαυθήσεται ὁ λάρος, ἤγουν ὁ Ὀδυσσεύς, ἀγρίας συκῆς ἐπικαθήμενος κλάδῳ, ἤγουν[5] τῷ πλοίῳ, ὅπως αὐτὸν

1) Cod. ἀναμαξάμενος καὶ ἀνατυπούμενος.
2) Cod. ἐκπνεύσει. 3) Cod. λευκαίνειν. deest ἴαμα.
4) Cod. κεραυνίνῃ. 5) Incipit Cod. fol. 50. rect.

*μὴ καταπίῃ ἐν τοῖς ῥεύμασιν ὁ κλύδων, Χάρυβδιν ἐκπνέουσαν ἑλκύσας τ ῷ β υ θ ῷ. Ὀλίγον δὲ τερφθεὶς τοῖς τῆς τοῦ Ἄτλαντος θυγατρὸς Καλυψοῦς γάμοις, αὐτοσχέδιον πλοῖον καὶ ἀλίμενον ἐπιβῆναι ὑπομείνῃ καὶ καρτερήσει, καὶ κ υ β ε ρ ν ή σ ε ι ὁ ταλαίπωρος τὴν αὐτομάτως γεγονυῖαν ναῦν κατὰ τὴν μέσην τρόπιν εἰκῇ καὶ μάτην τοῖς ξυλίνοις γόμφοις συμπεπλεγμένην καὶ συνειλημμένην. Ἧς ὁποῖα μικρὸν ὁ Ποσειδῶν ἀναδὺς καὶ ἀναφήνας τῆς τοῦ ἄρσενος ἀλκυόνος γαμετῆς τοὺς ἀπτέρους νεοσσούς, σὺν αὐτοῖς τοῖς μέσοις ξύλοις τῆς σχεδίας καὶ τοῖς κύκλῳ ὀρθοῖς καταβαλεῖ πρὸς τὸ κῦμα δύνοντα τὸν Ὀδυσσέα, ἐμπεπλεγμένον τοῖς σχοινίοις. Ἄϋπνος δὲ τοῖς ἐσωτάτοις τῆς θαλάσσης κλυδωνιζόμενος, τῷ πολίτῃ τῆς Θρᾳκικῆς πόλεως Ἀνθηδόνος Γλαύκῳ σύνοικος γενήσεται. Ἄλλος δὲ παρ' ἄλλου ἄνεμος συστρέψει, ὡς πεύκης κλάδον, ἤτοι φελλόν, ἐμπηδῶν καὶ ἀλλόμενος τοῖς φυσήμασι· μόλις δὲ τῆς Λευκοθέας, ἤτοι τῆς Ἰνοῦς, ἐκ τῆς κακῆς συστροφῆς τοῦ ῥεύματος τὸ περιβόλαιον σώσει τὸν Ὀδυσσέα κατὰ τὰ στέρνα ἠσφαλισμένον καὶ τὰς ἄκρας χεῖρας, αἷστισι τῆς τ ὰ κ ρ έ α τ α ἀ γ ρ ε υ ο ύ σ η ς πέτρας ἁπτόμενος καὶ δρασσόμενος, ταῖς ὑπὸ τῆς θαλάσσης βρωθεῖσιν ὀξύτησιν τῶν πετρῶν αἱμαχθήσεται. Εἰς δὲ τὴν νῆσον Ἅρπην, ἤτοι τὴν Κέρκυραν, τὴν τῷ Κρόνῳ μισουμένην, τὴν τῶν αἰδοίων κρεατόμον, περάσας, ἄνευ χιτῶνος, προσαίτης, συμφορῶν χαλεπῶν ἔμπειρος, ὡς ἐπὶ τὸ μυθῶδες καὶ τὴν διήγησιν πλάττων ἐκφωνήσει τ ῶ ν θ ρ ή ν ω ν, τὰς κατάρας τιμωρηθεὶς τοῦ τυφλωθέντος θηρίου, ἤγουν Κύκλωπος. Οὔπω λίαν, οὔπω τῶν κακῶν λήξει· μὴ τοσοῦτος δὲ ὕπνος καταλάβῃ τὸν Μέλανθον καὶ Ἱππηγέτην, τουτέστι Ποσειδῶνα, κατακλιθέντα. Παραγενήσεται γὰρ εἰς τὸν καλούμενον Ῥείθρου σκέπας λιμένα, καὶ Νηρίτου ὄρους τὰς ἐξοχάς· περιφραστικῶς δὲ εἰς τὴν Ἰθάκην· ὄ ψ ε τ α ι δ ὲ π ᾶ ν μ έ λ α θ ρ ο ν ἄ ρ δ η ν ἐ κ β ά θ ρ ω ν· θεάσεται δὲ ὅλον τὸν οἶκον ἐκ τῶν θεμελίων ἀνεστραμμένον τοῖς τῶν γυναικῶν κλέπταις καὶ κατωφερέσι μνηστῆρσιν· ἡ δὲ πόρνη Πενελόπη, ὑπερηφάνως πορνεύουσα, κενώσει καὶ δαπανήσει τοὺς οἴκους, ταῖς θυσίαις καὶ ταῖς δαψιλείαις τὸν πλοῦτον ἐκκενοῦσα τοῦ ταλαιπώρου. Αὐτὸς δὲ ὁ Ὀδυσσεὺς π λ ε ί ω τῶν ἐπὶ Σκαιαῖς πύλαις τῆς Τροίας πόνους θεασάμενος ὁ γαστρίμαργος, καρτερήσει μὲν ἐκ τῶν δούλων φοβερὰς ἀπειλὰς τῷ γενναίῳ νώτῳ ὑπομένειν, ταῖς λοιδορίαις τιμωρηθείς· καρτερήσει δὲ καὶ ἀπὸ τῶν χειρῶν πληγὰς ὑποφέρειν καὶ τὰς βολὰς τῶν ὀστράκων.*

Οὐ γὰρ ξέναι αὗται αἱ μάστιγες, ἀλλὰ σφοδρὰ σφραγὶς καὶ σημασία διαμένει ἡ τοῦ Θόαντος ἐν ταῖς πλευραῖς ἔτι, ταῖς ῥάβδοις κοιλανθεῖσα καὶ τρυπηθεῖσα· ἅςτινας ὁ λυμεὼν Ὀδυσσεὺς ἐπιξέειν καὶ ἐπιτύπτειν ἀστενοχωρήτως ἐπαινέσει, καὶ ἐθελουσίαν πληγὴν τῷ σώματι προςεξαιμάσσων, ὅπως ἐνεδρεύσῃ καὶ ἀγρεύσῃ τοῖς πολεμίοις κατασκόποις βλάβαις καὶ κλαυθμοῖς ἀπατήσας τὸν βασιλέα Πρίαμον. Ὅντινα ἡ Βοιωτία ἐξοχὴ τοῦ ὄρους, τοῦ καλουμένου Τεμμικία, μεγάλην βλάβην ποτὲ ἐγέννησε, μόνος τῶν ναυτίλων πρὸς τοὺς οἴκους σωθεὶς ὁ ταλαίπωρος. Ἔσχατον δὲ καθάπερ καύηξ τὸ ὄρνεον τῶν κυμάτων ὁ δρομεύς, ὥςπερ κογχύλος τῇ ἅλμῃ περιτριβεὶς καὶ περιβληθείς, τὴν κτῆσιν τὴν ταῖς σφαγαῖς ὑπὸ τῶν Πρωνίων, ἤτοι μνηστήρων, λαφυσσομένην καὶ ἀπαντλουμένην παρὰ τῆς ἐκ Λακεδαιμονίας ἐπὶ κακῷ οἰστρησάσης Πηνελόπης καταλαβών, καὶ λίαν γεγηρακὼς ἀποθανῇ, τὸ θαλάττιον σκέπασμα, ἤτοι τὴν ναῦν, διαφυγών, κόραξ σὺν τοῖς ὅπλοις τῶν θαλασσίων δρυμῶν ἐγγύς. Ἀποκτενεῖ δὲ τύψας τὴν πλευρὰν ὁ ὀλέθριος στόνυξ, ἤτοι τὸ κέντρον τὸ δυςφόρητον τοῦ Σαρδωνικοῦ ἰχθύος, τουτέστι τῆς τρυγόνος. Ὁ δὲ αὐτανέψιος, ἤτοι[1] ἐξάδελφος τῆς ἐξ Ἀχιλλέως γαμηθείσης Μηδείας Τηλέγονος υἱός, καὶ φονεὺς τοῦ πατρὸς Ὀδυσσέως κληθήσεται. Νεκρῶν δὲ μάντιν ὁ Εὐρυτὰν ἀναγορεύσει λεώς· ὅ ἐστιν ἔθνος Ἠπείρου, ὃ καὶ ἀναγορεύσει· ὁπότε εἰς τὸ ὑψηλὸν κατοικητήριον κατοικῶν Τραμπυίας χώρας· ἐν ᾗ ἡμέρᾳ[2] καὶ πάλιν ποτὲ τὸν υἱὸν τοῦ Ἀλεξάνδρου Ἡρακλέα ὁ δράκων Τυμφαῖος, ὁ βασιλεὺς τῶν Μακεδόνων, ἐν ταῖς εὐωχίαις ἀποκτενεῖ, τὸν ἐκ τῆς σπορᾶς τοῦ Αἰακοῦ καὶ τοῦ Περσέως τῶν ἀπογόνων καὶ τοῦ Ἡρακλέος οὐ πόῤῥωθεν τῶν αἱμάτων καταγόμενον. Ἡ Πέργη δὲ αὐτὸν καὶ τῶν Τυρσηνῶν ὄρος ἀποθανόντα καὶ ἐν Γορτυναίᾳ τῇ πόλει καυθέντα ὑποδέξεται, ὁπόταν στενάζων τὸν θάνατον τοῦ παιδὸς Τηλεμάχου καὶ τῆς πενθερᾶς αὐτοῦ Κίρκης τὰς θανατηφόρους μοίρας ἐκπνεύσῃ· ἥντινα Κίρκην ὁ ἀνὴρ τῆς Κασσιφόνης Τηλέμαχος ἀποκτείνας, αὐτὸς πρὸς τὸν Ἅιδην δευτέραν ὁδὸν περάσει, τῆς τοῦ Γλαύκωνος καὶ Ἀψύρτου ἐξαδέλφης Κασσιφόνης ταῖς σφαγαῖς τὸν τράχηλον τετμημένος. Καὶ ὁ μὲν Ὀδυσσεὺς τοσούτων βλαβῶν σωρὸν ἰδών, ἀμετάστρεπτον εἰς τὸν Ἅιδην τὸ δεύτερον παραγενήσεται, πρᾶον καὶ ἥσυχον

---

1) Incipit Cod. fol. 50. vers. 2) Inepte pro χώρας.

ἡμέραν οὐδαμῶς ποτε ἐν τῇ ζωῇ θεασάμενος. Ὦ ἁμαρτωλὲ καὶ ἄδικε, ὁ τὰ ἐπισχεθῆναι ἄξια ἔργα τελειῶν· ὡς κρεῖσσον ἦν σοι ἐν τῇ πατρίδι μένειν, τὸν βοῦν ἐλαύνοντι καὶ τὸν ἐργαστὴν μύκλον κάνθωνα ὄνον ὑπὸ ταῖς ζεύγλαις τοῦ λοιποῦ ζευγνύειν, ταῖς ἐπιπλάστοις μανίας μηχαναῖς μαινόμενον, ἢ τηλικούτων κακῶν πεῖραν ταλαιπωρῆσαι!

820 — 876. Ὁ δ' αἰνόλεκτρον ἁρπαγεῖσαν εὐνέτης· ὁ δὲ ἀνὴρ τῆς Ἑλένης Μενέλαος, τὴν ἐπὶ κακῷ γαμηθεῖσαν αὐτῷ γυναῖκα ἁρπαγεῖσαν ζητῶν καὶ πυνθανόμενος τῆς φήμης, ποθῶν δὲ τὸ πτηνὸν φάντασμα τὸ εἰς οὐρανὸν διαφυγόν, ποίας τῆς θαλάσσης τόπους ἐσωτάτους οὐκ ἐρευνήσει; ποίαν δὲ στερεὰν γῆν παραγενόμενος οὐ ψηλαφήσει; Θεάσεται μὲν πρῶτον τὴν Κιλικίαν, καὶ τὴν ἤδη εἰς Ἅιδου πεμπομένην γραῦν, μαρμαρωθεῖσαν τῷ σώματι· καὶ τὰς τῶν Ἀράβων προνενευκυίας πέτρας, τοῖς ναύταις μεμισημένας· θεάσεται δὲ καὶ τῆς ταλαιπώρου Μύῤῥας τὸ ἰσχυρὸν πόλισμα, τὸ λεγόμενον Βύβλον· ἥστινος τὰς ἐν τῷ τίκτειν οἰμωγὰς ποιούσας ὠδῖνας ὁ δενδρώδης κλάδος διέλυσε· καὶ τὸν παρὰ τῇ θεᾷ Σχοινῖδι[1] καὶ Ἀρέντᾳ καὶ Ξένῃ Ἀφροδίτῃ κλαυσθέντα Ἀδώνιδος τάφον, τοῦ ὑπὸ τῶν Μουσῶν φθαρέντος· ὅντινά ποτε τῷ λευκῷ ὀδόντι ὁ χοῖρος ἀπέκτεινε. Θεάσεται δὲ τὰς Αἰγυπτίας πόλεις καὶ τοῦ Ἑρμοῦ τὴν πηγὴν ἐκ τοῦ ποδὸς αὐτοῦ γενομένην· καὶ τὰς δισσὰς πέτρας, ἐν αἷς τὸ κῆτος προςήλατο, χρῇζον τῆς εὐωχίας τῆς Ἀνδρομέδας· ἀντὶ δὲ αὐτῆς ἐπορεύθη τὸν αὐτὸν Περσέα τὸν ἑαυτοῦ ἀνδρεῖον μάγειρον, τὸν πτερωτὰ ὑποδήματα ἔχοντα ταῖς σιαγόσιν ἁρπάσας (sic). Φονευθήσεται δὲ τῷ ξίφει τοῦ Περσέως ἡ πολυμίσητος Γοργὼ ἐκνευριζομένη, τὰς ἱπποτρόφους ὠδῖνας τῶν τόκων τοῦ Περσέως ἀνοίξαντος, τῆς ἐκ τοῦ τραχήλου τεκούσης καὶ ἀπομαρμαρούσης τοὺς ἀνθρώπους Γοργόνος· ὁ ἀπολιθῶν δὲ τοὺς ἀνθρώπους Περσεὺς ἐκ τοῦ ἄκρου ποδὸς μέχρι τῆς κεφαλῆς, καὶ τὸν ὀφθαλμὸν[2] ἐκ τῶν ὄπισθεν ὑποκλέψας τῆς τριπλῆς Γοργόνος, καὶ τῷ λίθῳ αὐτοὺς[3] περισκεπάσει, ἤγουν ἀπολιθώσει. Θεάσεται δὲ καὶ ἐν θέρει ἀρδευομένας ὁδούς, καὶ τὸ ῥεῖθρον τοῦ Νείλου ποταμοῦ, καὶ τὰς χαμαὶ κοιμωμένας φώκας, εἰς δυςόδμους κοίτας ταῖς φώκαις συγκοιμώμενος. Καὶ πάντα καρτερήσει χάριν τῆς ἀναιδοῦς Ἑλένης, τῆς πολυάνδρου, καὶ μίαν θῆλυν παῖδα

1) Cod. Σχοινῆδι. 2) Cod. τῶν ὀφθαλμῶν. 3) Cod. αὐτῆς.

τεκούσης κόρης. Παραγενήσεται δὲ πλανήτης εἰς τὸ τῶν Ἰαπύγων[1] στράτευμα, καὶ δῶρα ἀναθήσει τῇ παρθένῳ Ἀθηνᾷ, κρατῆρα Ταμάσιον καὶ[2] ἀσπίδα ἐξ ἀγρίου βοὸς κατασκευασθεῖσαν, καὶ τὰς δυσχερῶς ποιηθείσας τῆς γαμετῆς Ἑλένης ἀσκέρας· ἅπερ εἰσὶν εἴδη ὑποδημάτων. Παραγενήσεται δὲ εἰς τὴν Σῖριν[3], πόλιν Ἰταλίας, καὶ τοὺς ἐσωτάτους τόπους τοῦ Λακινίου, ὅ ἐστιν ἀκρωτήριον Κρότωνος· ἐν οἷς τόποις ἡ Θέτις κῆπον τῇ θεᾷ Ἥρᾳ κατασκευάσει τοῖς φυτοῖς ἐξειργασμένον. Ταῖς γυναιξὶ δὲ ταῖς ἐγχωρίοις ἀεὶ ἔσται νόμος, πενθεῖν τὸν ἀπ' Αἰακοῦ καὶ τῆς Δωρίδος τρίτον ἐννεάπηχυν Ἀχιλλέα, τὸν ἄνεμον[4] τοῦ καυστικοῦ πολέμου· καὶ μήτε τῷ χρυσῷ τὰ λαμπρὰ σώματα εὐτρεπίζειν, μήτε εὐφυεῖς καὶ καλοὺς περιβάλλεσθαι χιτῶνας τῇ πορφύρᾳ βεβαμμένους, διότι ἡ θεὸς Θέτις τῇ θεᾷ Ἥρᾳ μέγα ἀκρωτήριον τόπῳ (sic) ἀμείβεται ἐνοικεῖν καὶ ἱερὸν ἔχειν. Παραγενήσεται δὲ εἰς τὰς κακοξένους γυμνικὰς παλαίστρας τοῦ Ἔρυκος, ὅντινα ἡ Κωλῶτις καὶ Ἀλεντία Ἀφροδίτη γεννᾷ, ἡ βασίλισσα τῶν ἐσωτάτων τόπων τῆς Λογγούρου λίμνης· καὶ εἰς τὸ πήδημα τῆς τοῦ Κρόνου δρεπάνης, καὶ εἰς τὸ ὕδωρ τῆς Κογχίας (sic) λίμνης ἀνακάμψας, εἰς τὴν Γονοῦσαν λίμνην, καὶ εἰς τὰς πλάκας τῶν Σικελῶν. Καὶ εἰς τὸν ναὸν τοῦ θηροχλαίνου Ἡρακλέους, τοῦ πολλὰ ἐσθίοντος λύκου· ὅντινα ὁ ἀπόγονος τοῦ Κρηθέως Ἰάσων, ὁρμίσας τὴν Ἀργώ, σὺν ν' Ἀργοναύταις ἱδρύσατο. Αἱ δὲ παραθαλάσσιοι ψῆφοι τῶν Ἀργοναυτῶν τὰ λιπαρὰ ἀποξύσματα φυλάττουσιν, ἅτινα οὐδὲ ὁ τῆς θαλάσσης κλύδων, οὐδὲ ἡ ὀμβρία χιὼν ἐπὶ πολὺν χρόνον ἀποπλύνουσα[5] καθαίρει.

877—910. Τοὺς δὲ λοιποὺς Ἀργοναύτας οἱ αἰγιαλοὶ καὶ αἱ πλησίον τῶν Ταυχείρων πόλεως ὕφαλοι πέτραι στενάζουσιν ἐξεῤῥιμένους εἰς τὸ τοῦ Ἄτλαντος οἰκητήριον ἔρημον τοῖς ξύσμασι τῶν σωμάτων προςκεχηνότας, ὅπου τὸν Τιταιρῶνος ἀπόγονον Μόψον ἀποθανόντα οἱ Ἀργοναῦται ἔθαψαν, καὶ ὑπεράνωθεν τυμβείαν βάσιν ἐκ τῶν κατωτέρων μερῶν τῆς Ἀργοῦς, κλασθὲν ὑπερκείμενον ξύλον, ἤτοι πλατεῖαν σανίδα, εἰς στήλην ἔστησαν, ὡς ἂν γνωρίζοιτο ἐκεῖσε· καὶ ὁ τοῦ Κίνυφος ποταμοῦ ῥοῦς τὴν Αὐσίγδα πόλιν βρέχων τοῖς ὕδασιν ἀρδεύει. Καὶ τῷ υἱῷ δὲ τοῦ Ποσειδῶνος Τρίτωνι ἡ γυνὴ

1) Cod. Ἰαπυγείων. 2) Incipit Cod. fol. 51. rect.
3) Cod. Σῖριν. 4) Cod. ἄνεμον. 5) Cod. ἀποπλυνοῦσα.

*Μήδεια δῶρον ἐχαρίσατο κεχαρισμένη μέγαν κρατῆρα δείξαντι πλευστὴν ὁδόν, ἔνθα διὰ τῶν στενῶν πετρῶν τῆς θαλάσσης ὁ κυβερνήτης Τῖφυς ἄκλαστον*[1] *τὸ σκάφος ἐλάσει, ὁδηγήσει. Τοὺς δὲ Ἕλληνας χρήσει καὶ φωνήσει*[2] *ὁ δύο μορφὰς ἔχων Τρίτων θεός, τηνικαῦτα κρατήσειν τῆς ἀρχῆς τῆς χώρας τῶν Λιβύων, ὁπόταν ἐξοπίσω ὁ ἐν ἀγρῷ διανυκτερεύων Λίβυς λαὸς κλέψας τῆς πατρίδος τὸν κρατῆρα Ἕλληνι ἀνδρὶ παρέξει· τοὺς δὲ χρησμοὺς φοβούμενοι, οἱ Λίβυες τὸ κτῆμα, ἤγουν τὸν κρατῆρα, ἀφανῆ ποιήσουσιν ἐν τοῖς ἐσωτάτοις καὶ κοίλοις τόποις τῆς γῆς· ἐφ' ἥτινι γῇ τὸν κακοθάνατον τῶν Κυφαίων στρατηγέτην Γουνέα σὺν τοῖς ναύταις αὐτοῦ Βοῤῥέου πνοαὶ ἐκρίψουσι· τόν τε υἱὸν τοῦ* Τ ε θ ρ η δ ό ν ο ς, *Πρόθοον, τὸν τῶν Παλαύθρων καὶ* Ἀ φ ρ υ σ ί ω ν *καὶ Εὐρυαμπίων Μαγνήτων βασιλέα, καὶ τὸν τοῦ ἀποπετρωθέντος λύκου πεδίου, τοῦ φαγόντος τὰ ἄποινα τοῦ Πηλέως, καὶ τὸν τῶν ἀκρωτηρίων τοῦ ὄρους τῶν Μηλιέων βασιλέα Εὐρύπυλον. Ὧντινων οἱ μὲν ἄθλιοι τὴν Αἰγώνειαν πόλιν καὶ πατρίδα τῶν Μηλιέων ποθοῦντες, οἱ δὲ τὴν Ἐχῖνον, οἱ δὲ τὴν Τίταρον, τήν τε Ἶρον*[3] *καὶ Τρηχῖνα καὶ Πεῤῥαιβικὴν*[4] *Γόνον,* Φ ά λ α ν ν ό ν *τε καὶ τὰς ὁδοὺς τῶν Ὀλοσσόνων, καὶ τὴν Κασταναῖαν· αἵτινές εἰσι πόλεις Λυκίης* (sic)· *ἄταφον ἐν ταῖς πέτραις εἰς αἰῶνα θρηνήσουσιν ἐσπαραγμένοι.* Ἄ λ λ η ν δ ὲ ἐ π ὶ ἄ λ λ η ν *θανατηφόρον μοῖραν καὶ χαλεπὴν συμφορὰν πρὸ τῆς ἐπανόδου δωρούμενος ὁ*[5] *θεὸς κινήσει.*

911—929. Τ ὸ ν δ' Α ἰ σ ά ρ ο υ τ ε ῥ ε ῖ θ ρ α κ α ὶ β ρ α χ ύ π τ ο λ ι ς Ο ἰ ν ω τ ρ ί α ς *γῆς* κ ε γ χ ρ ί ν ῃ β ε β ρ ω μ έ ν ο ν· *Τὸν δὲ ὑπὸ ὄφεως κεγχρίνης βεβρωμένον καὶ τοῦ κορμοῦ Ἀλεξάνδρου τὸν αἵμασι μιαινόμενον Φιλοκτήτην, τὰ ῥεῖθρα τοῦ Αἰσάρου ποταμοῦ καὶ ἡ μικρὰ πόλις τῆς Οἰνωτρίας γῆς Κρίμισσα δέξεται. Αὕτη γὰρ ἡ Σάλπιγξ Ἀθηνᾶ τὴν ἀκμὴν καὶ ἄκραν τοῦ βέλους ἐν ταῖς χερσὶ τοῦ Φιλοκτήτου εὐθυνεῖ, κατ' Ἀλεξάνδρου ἀποπέμπουσα τὸν Σκυθικὸν τῆς νευρᾶς* κ τ ύ π ο ν. *Ὅστις ποτὲ Φιλοκτήτης παρὰ ταῖς ὄχθαις τοῦ Δύρα ποταμοῦ καύσας τὸν ἰσχυρὸν* λ υ ρ ό κ τ υ π ο ν[6] *λέοντα Ἡρακλέα τῷ ἐπικαμπεῖ Σκυθικῷ αὐτοῦ τόξῳ, καὶ τῷ μὴ* ἀ π ο τ υ γ χ ά ν ο ν τ ι *τῶν βελῶν τὰς χεῖρας ὥπλισεν. Ὁ δὲ*

---

1) Cod. *ἄκλαυστον.* 2) Cod. repetit *ὁδηγήσει.* 3) Cod. *Ἦρον.*
4) Cod. *Περαιβικὴν.* 5) Incipit Cod. fol. 51. vers.
6) Cod. *εὐρόκτυπον.*

*Κρᾶθις*[1], *ποταμὸς Κρότωνος, τοὺς τάφους τοῦ Φιλοκτήτου θεασάμενος ἀναιρεθέντος ἐκ πλαγίου τῶν ἱερῶν τοῦ Ἀλαίου καὶ Παταρέως Ἀπόλλωνος, ὅπου ὁ Ναύαιθος, ποταμὸς Ἰταλίας, τὸν κλύδωνα ἐρεύγεται. Ἀποκτενοῦσι δὲ καὶ αὐτὸν οἱ Ἰταλοὶ καὶ οἱ ἄποικοι τῆς Πελλήνης τῆς ἐν Πελοποννήσῳ συμμαχοῦντα τοῖς τῶν Ῥοδίων στρατιώταις. Οὕςτινας, πόῤῥωθεν τῶν ὁρίων τοῦ Θερμύδρου λιμένος καὶ τῶν Καρπάθου νήσων πεπλανημένους, ὁ Θρᾳκικὸς ἰσχυρὸς κύων Βοῤῥᾶς πέμψει ἐπὶ ξένην καὶ ἀλλοτρίαν κατοικήσοντας. Ἐν δὲ δὴ τοῖς Μακάλλοις, ὅ ἐστι πόλις τῆς Ἰταλίας, ναὸν μέγαν οἱ ἐγχώριοι ὑπεράνω τῶν τάφων τοῦ Φιλοκτήτου κατασκευάσαντες αἰώνιον καὶ διηνεκῆ θεὸν ταῖς σπονδαῖς καὶ θυσίαις τῶν βοῶν δοξάσουσιν.*

930—950. *Ὁ δὲ τὸν δούρειον ἵππον κατασκευάσας Ἐπειός, διὰ τὸν πατρῷον ψευδώμοτον ὅρκον τιμωρηθείς, τὸ δόρυ πεφοβημένος καὶ τὴν ὁρμὴν καὶ ἰσχυρὰν παράταξιν τοῦ πολέμου, ἐν ταῖς ἀγκάλαις τῆς Λαγαρίας πόλεως Ἰταλίας παραγενήσεται· ὅντινα ὅρκον ταλαίπωρος αὐτοῦ πατὴρ Πανοπεὺς περὶ τῶν κτημάτων τῶν διὰ τοῦ πολέμου αὐτοῖς κτηθέντων ἐκ τῆς πόλεως τῆς Κομαιθοῦς θυγατρὸς Πτερελάου*[2], *τῶν ἐν τῷ στρατῷ βεβολημένων χάριν τῶν στερχθέντων γάμων Ἀλκμήνης καὶ Ἀμφιτρύωνος, ἐκαρτέρησε τὴν Ἀλοῖτιν καὶ Κυδωνίαν καὶ Θρασὼ Ἀθηνᾶν ἐπιορκῆσαι, καὶ τὸν ἐκ τῆς Θρᾴκης Κανδάονα ἢ Μάμερτον θεὸν Ἀρέα τὸν πολεμιστὴν λύκον· ὁ ἔσωθεν μήτρας τῆς μητρὸς αὐτοῦ Πανοπεὺς στήσας φοβερὰν μάχην πρὸς τὸν ἀδελφὸν τοῖς σπαραγμοῖς τῶν χειρῶν, οὔπω τὸ τῆς ἡμέρας λαμπρὸν φάος βλέπων, οὐδὲ τὰς χαλεπὰς ὠδῖνας τῶν τόκων ἐκφυγών. Τοιγαροῦν οἱ θεοὶ τὸν υἱὸν αὐτοῦ φυγάδα ἄνδρα ἐποίησαν, ἐν μὲν τῇ πυγμῇ ἀγαθὸν καὶ γενναῖον, ἐν δὲ τῷ πολέμῳ τοῦ δόρατος δειλόν, καὶ πλεῖστα ἐν τῇ τεκτονικῇ τὸν στρατὸν ὠφελήσαντα. Ὅςτις περὶ τὸν Κῖριν*[3] *ποταμὸν καὶ τοῦ Κυλιστάρου τὸ ὕδωρ ὁ ξένος καὶ μετανάστης πόῤῥω τῆς πατρίδος τοὺς οἴκους κατασκευάσει. Τὰ γὰρ ἐργαλεῖα αὐτοῦ, ἐν τούτοις ποτὲ τορνεύσας χαλεπὴν βλάβην τοῖς ἐγχωρίοις, ἤγουν τοῖς Τρωσί, τὸν δούρειον ἵππον κατασκευάσει, καὶ τῆς Μυνδίας Ἀθηνᾶς ἱερῷ ἀναθήσει.*

951—977. *Οἱ δὲ λοιποὶ πλανῆται παραγενόμενοι εἰς*

---

1) Cod. *Κράθις*. 2) Cod. *Περιλάου*. 3) Cod. *Κίριν*.

τὴν τῶν Σικελῶν γῆν κατοικήσουσιν, ὅπου ὁ Λαομέδων τὰς τρεῖς θυγατέρας τοῦ Φοινοδάμαντος τοῖς ναύταις ἔδωκε, τετρωμένος ταῖς κητοδόρποις συμφοραῖς τῆς αὐτοῦ θυγατρός, πόῤῥω παραγενομένους εἰς τὴν ἑσπερίαν γῆν τῶν Λαιστρυγόνων, ὅ ἐστιν ἔθνος ἀνθρωποφάγον, τοῖς ὠμοφάγοις θηρίοις τροφὴν προθεῖναι, ἔνθα πολλὴ ἐρημία συνυπάρχει. Αὗται δὲ δή, τὸν θάνατον καὶ τὰς μονοκοίτους καὶ ἐρήμους καθέδρας διὰ τῆς τοῦ Ἔρυκος μητρὸς Ἀφροδίτης φυγοῦσαι, μέγαν ναὸν δωρεὰν τῇ θεᾷ κατεσκεύασαν· ὧντινων δὴ μιᾷ ὁ Κριμισσὸς ποταμός, ὁμοιωθεὶς κυνί, ἐν ταῖς κοίταις συνεγένετο· ἡ δὲ τῷ θηρομίκτῳ δαίμονι τὸν γενναῖον Αἰγέστην γεννᾷ, συνοικήτορα καὶ [1] κτίστην τριῶν πόλεων. Ὅςτις δὴ ὁδηγῶν τὸν νόθον υἱὸν Ἀγχίσου Ἔλυμον εἰς τὴν πανταχόθεν ὑπὸ τῆς θαλάσσης λήγουσαν νῆσον Σικελίαν ἀπάξει ἐκ τῶν Δαρδανίων τόπων πλέοντα. Ὦ ταλαίπωρε Αἰγέστα, πόλις Σικελίας, ταῖς τῶν δαιμόνων διδαχαῖς μέγιστόν σοι πένθος ὑπὲρ τῆς πατρίδος διὰ τοῦ αἰῶνος ἔσται ταῖς τοῦ πυρὸς βολαῖς κεκαυμένης. Μόνη δὲ σὺ τῶν πόλεων τὰς δυςτυχεῖς ἐκπορθήσεις τῆς Ἰλίου ἀκατάπαυστον κλαίουσα καὶ ὀδυρομένη ἐπὶ πολὺν χρόνον στενάξεις· πᾶς δὲ ὁ λαός, ἀβρόχῳ τρόπῳ μέλαιναν ἐσθῆτα καὶ ῥυπαρὰν διὰ τὸ Ἑλληνικὸν τρόπαιον ἐνδεδυμένος, λυπηρὸν βίον διάξει· ἄκουρος δὲ τῇ κόμῃ τῆς κεφαλῆς ὑπάρχων, τὰ ὀπίσω τῆς κεφαλῆς καλλωπίσει τῶν παλαιῶν ὀδυρμάτων τὴν μνήμην ἐπιμελουμένη.

978 — 1010. Πολλοὶ δὲ περὶ τὴν Σῖριν [2] καὶ Λευταρνίαν γῆν οἰκήσουσιν, ὅπου ὁ δυςθάνατος καὶ φρόνιμος καὶ σοφὸς Κάλχας χάριν τῶν ἀναριθμήτων ἀγρίων σύκων τῷ κονδύλῳ τοῦ Ἡρακλέους πληγεὶς τὴν κεφαλὴν κατακεῖται, ἔνθα καὶ ὁ ταχὺς Σῖρις ποταμὸς Ἰταλίας τοῖς ῥεύμασιν πλημμυρεῖ, πᾶσαν τὴν βαθεῖαν γῆν τῆς Χωνίας [3] πόλεως ἀρδεύων. Τὴν πόλιν δὲ Σῖριν [4] ὁμοίαν τῇ Ἰλίῳ οἱ κακοδαίμονες Τρῶες κατασκευάσαντες λυπήσουσι τὴν Λαφρίαν καὶ Σάλπιγγα κόρην Ἀθηνᾶν, χειρωσάμενοι καὶ ἀποκτείναντες ἐν τῷ ναῷ τῆς θεᾶς τοὺς πρόσθεν Ἴωνας τὸ ἔδαφος κατοικοῦντας. Τοῖς δὲ ἀδακρύτοις ὀφθαλμοῖς τὸ εἴδωλον τῆς Ἀθηνᾶς καμμύσει, βλέπον φοβερὰν βλάβην τὴν εἰς τοὺς Κροτωνιάτας ἐκ τῶν Ἰώνων γενομένην, φόνον τε ἔμφυλον τῶν ἐν ἀγρῷ διανυκτερευόντων

1) Incipit Cod. fol. 55. rect. 2) Cod. Σίριν.
3) Cod. Χωνείας. 4) Cod. Σίριν.

λύκων, ὁπόταν ὁ τῆς ἱερείας υἱὸς ἱερεύς, ἀποθανὼν, πρῶτος τῷ μέλανι ἀνθρωπίνῳ αἵματι τὸν ναὸν αἱματώσῃ.

Ἕτεροι δὲ τὰς Τυλλησσίους δυσβάτους ἐξοχάς, καὶ τὴν ἀνέχουσαν ἄκραν τοῦ ὑπὸ τῆς θαλάσσης σμηχομένου ἀκρωτηρίου Λίνου, τὴν σύγκληρον[1] Πενθεσιλείας ὀτρηρῆς πεπλανημένην πρὸς ξένην γῆν ἀπάξει· ἧστινος Πενθεσιλείας τὸ ἔσχατον ἐκπνεούσης πληγεὶς ὁ ὀφθαλμὸς παρὰ τῷ Αἰτωλῷ Θερσίτῃ φθαρτικὸν θάνατον αὐτῷ δεδασμένῳ τῷ φοινικῷ δόρατι ὁ Ἀχιλλεὺς κατασκευάσει. Οἱ δὲ Κροτωνιᾶται τὴν πόλιν ποτὲ ἐκπορθήσουσιν, ἀποκτείναντες τῆς Ἀμαζόνος τὴν ἄφοβον κόρην Κλείτην, τὴν βασίλισσαν τῆς ἐπωνύμου πατρίδος· πολλοὶ δὲ ἔμπροσθεν ἐξ ἐκείνης διαφθαρέντες τὴν γῆν τοῖς ὀδοῦσι χανόντες δήξουσιν· οὐδὲ χωρὶς πόνων καὶ κόπων τοὺς πύργους διακόψουσιν οἱ τῆς Λαυρήτης[2] ἀπόγονοι Κροτωνιᾶται. Οὗτοι δὲ δὴ τὴν Τέρειναν πόλιν Ἰταλίας τῇ πικρᾷ πλάνῃ κάμνοντες κατοικήσουσιν, ὅπου τοῖς πόμασιν ὁ Ὠκίναρος ποταμὸς τὸ καθαρὸν ὕδωρ ἐκβράσσων τὴν γῆν ποτίζει.

1011 — 1046. Τὸν δ' αὖ τὰ δευτερεῖα καλλιστευμάτων λαβόντα· τὸν δὲ δὴ Νιρέα τὸν τὰ δεύτερα κάλλη τοῦ Ἀχιλλέως λαβόντα, καὶ τὸν ἐκ Λυκορμαίων ποτῶν δεινὸν καὶ ἰσχυρὸν ἡγεμόνα υἱὸν τῆς Γόργης Θόαντα, πὴ μὲν εἰς τὴν Λιβύην ψάμμον αἱ Θρᾳκικαὶ πνοαὶ τοῖς ἐσχάτοις ἀρμένοις ἐμπίπτουσαι ἀπάξουσι· πὴ δὲ ἐκ τῆς Λιβύης πάλιν ὁ Νότος ἐμπίπτων εἰς τοὺς Ἀργυρίννους, ὅ ἐστιν ἔθνος Ἠπείρου, καὶ εἰς τὰς ὕλας τῶν Κεραυνίων ὀρῶν, τῷ βιαίῳ ἀνέμῳ ἐλαύνων τὴν θάλασσαν, ἀπάξει· ὅπου πεπλανημένον καὶ λυπηρὸν βίον θεάσονται τοῦ Λακμωνίου ὄρους καὶ τοῦ Αἴαντος ποταμοῦ τὰς ἐκρεύσεις πίνοντες. Ὁ δὲ γείτων Κρᾶθις,[3] ὁ ποταμὸς Ἰταλίας, σὺν τοῖς ὅροις τῶν Μελαίνων (sic) καὶ ταῖς Πόλαις τῶν Κόλχων οἰκήτορας ἄξεται, (sic) οὕστινας Κόλχους ὁ βαρὺς βασιλεὺς τῆς Αἴας πόλεως καὶ τῆς Κορίνθου Αἰήτης, καὶ ἀνὴρ τῆς Εἰδυίας, διώκτας τῆς θυγατρὸς αὐτοῦ ἀπέστειλε, τὴν νυμφαγωγὸν τρόπιν, ἤγουν τὴν Ἀργώ, ἀγρεῦσαι θέλων· οἵτινες Κόλχοι πρὸς τῷ βαθεῖ πόρῳ τοῦ Διζηροῦ ποταμοῦ κατῴκησαν.

Οἱ δὲ λοιποὶ εἰς τὴν Μελίτην νῆσον πλησίον τῆς Ὀθρω-

---

1) Desunt duo versus. 2) Cod. Λαυρίτης.
3) Cod. Κράθις.

νοῦ νήσου πεπλανημένοι οἰκήσουσιν· ἥντινα Μελίτην νῆσον[1] πέριξ ἐγγὺς τοῦ Παχύνου ποταμοῦ ὁ Σικελὸς κλύδων ἐπιῤῥεῖ καὶ ἐπικλύζει, τὴν τοῦ Σισυφείου παιδός, ἤγουν Ὀδυσσέως, ἐπώνυμον τραχεῖαν καὶ ὑψηλὴν ἄκραν, ἥν ποτε τῷ ὑστέρῳ χρόνῳ περιγράφων ὁ Ὀδυσσεὺς ἔνδοξον οἴκημα τῆς παρθένου Ἑκάτης Ὀδύσσειαν ἐκάλεσεν, ὅπου ὁ Ἕλωρος ποταμὸς Σικελίας τὸ ψυχρὸν ὕδωρ ἐκβάλλει. Ὁ δὲ τὸν πάππον ἀποκτείνας Ἄβαντα λύκος, Ἐλεφήνωρ, τὴν Ὀθρωνὸν νῆσον κατοικήσει, τὰ πόῤῥω ὄντα πατρῷα ῥεύματα τοῦ Κοσκύνθου ποταμοῦ Εὐβοίας ἐπιθυμῶν. Ὅςτις ἐν τῇ θαλάσσῃ τῶν πετρῶν ἐπιβάς, τὰς στρατοπλώτους ἱκεσίας, ἤγουν βοηθείας, τῆς πατρῴας γῆς τοῖς Ἀτρείδαις λέξει· οὐδαμῶς γὰρ ἂν τὸν φονέα τοῖς ποσὶ προςψαῦσαι τῆς πατρίδος ἐπὶ πλείονα χρόνον μὴ πεφευγότα ἡ βοηθὸς τῆς δίκης Τελφουσία Ἐριννὺς παραχωρήσει, ἡ περὶ τοῦ Λάδωνος τοῦ ποταμοῦ τὰ ῥεῖθρα κατοικοῦσα. Ὅθεν, πεφευγὼς τὴν δεινὴν μάχην τῶν δρακοντομόρφων ἑρπετῶν τῆς Ὀθρωνοῦ νήσου, εἰς τὴν Ἀμαντίαν πόλιν τῆς Ἠπείρου πλεύσει· πλησίον δὲ τῆς Ἀτινταvῶν (sic) γῆς παραγενόμενος, παρ' αὐτὴν τὴν πράκτιν εἰς τὸ ὑψηλὸν λέπας, ὅ ἐστιν ὄρος, οἰκήσει, τοῦ Ἠπειρώτου Πολυάνθου ποταμοῦ τὸ ὕδωρ τρυγῶν καὶ πίνων.

1047 — 1089. Ὁ δὲ ἕτερος τῶν δύο ἀδελφῶν Ποδαλείριος πλησίον τῶν Ἰταλικῶν κενοταφίων τοῦ Κάλχαντος ἐπὶ ξένην γῆν τοῖς ὀστέοις ταφήσεται· τοῖς δὲ ἐν μηλωταῖς περὶ τὸν τάφον αὐτοῦ κοιμωμένοις πᾶσιν ἀληθῆ λόγον καθ' ὕπνους χρησμοδοτήσει· ἰατρὸς δὲ τῶν νόσων παρὰ τοῖς Δαυνίοις ὁ Ποδαλείριος κληθήσεται, ὁπότε λουόμενοι ἐν τοῖς ῥεύμασιν τοῦ Ἀλθαίνου ποταμοῦ βοηθὸν ἀναβοήσουσι τοῦ Ἀσκληπιοῦ τὸν υἱόν, τοῖς πολίταις καὶ τοῖς θρέμμασιν αὐτῶν ἄγαν εὐμενῆ παραγενέσθαι. Γενήσεταί ποτε τοῖς πρεσβευταῖς τῶν Αἰτωλῶν καὶ ἀγγέλοις ἐκεῖ φῶς λυπηρὸν καὶ ἐχθρότατον φανὲν παρὰ τῶν Δαυνίων, ὁπόταν ἐπὶ τῶν Σαλάγγων τὴν γῆν καὶ τῶν Ἀγγαίσων τὰ ἑδράσματα παραγενόμενοι οἱ Αἰτωλοὶ καὶ ἀπαιτοῦντες ἀπαιτήσουσι (sic) τοῦ Διομήδους τοὺς τόπους, τῆς ἀγαθῆς ἠροτριασμένης γῆς τὸ κληρωθὲν αὐτῷ λιπαρὸν μέρος. Τούτους δὲ οἱ ὠμοφάγοι Δαύνιοι ζῶντας εἰς σκοτεινὸν τάφον χώσουσιν ἐν τοῖς ἐσωτάτοις τόποις τῆς ὠρυγμένης καὶ φαραγγώδους κοίλης γῆς. Οὗτοι δὲ οἱ Δαύνιοι

---

1) Incipit Cod. fol. 55. vers.

ἐντελὲς ἄταφον μνῆμα τῶν νεκρῶν Αἰτωλῶν τῷ κεχωσμένῳ σμικρῷ λίθῳ κατασκευάσουσι, τὴν χώραν παρέχοντες, ἥντινα ἀπολαβεῖν ἔχρῃζον τοῦ Τυδέως, ἐπειδὴ ἐν τῷ Θηβαϊκῷ πολέμῳ λέγεται ὁ Τυδεὺς τὴν κεφαλὴν τοῦ Μελανίππου κατεδηδοκέναι, κρατοβρῶτος οὖν τοῦ Τυδέως· παῖς δὲ αὐτοῦ ὁ Διομήδης.

Τῶν τοῦ Ναυβόλου[1] δὲ παίδων εἰς Τέμεσαν, πόλιν Ἰταλίας, οἱ ναῦται καταντήσουσι, ὅπου τὸ ἀκρωτήριον[2] σκληρὸν νένευκεν· ἀντὶ δὲ τῶν ὁρισμάτων τῆς Κρίσσης, πόλεως Φωκίδος· ἐπειδὴ ἡ μὲν Κρίσσα ἀνατολική[3], ἡ δὲ Κρότων δυτικὴ πόλις Φωκίδος, τῶν βοῶν ἀροτρεύσουσι τῷ ἑλκομένῳ ἄκρῳ τοῦ ἀρότρου, ἥτις καλεῖται ὕνις, τὴν Λίλαιαν πατρίδα· ἐστὶ δὲ Φωκίδος πόλις· καὶ τὸ ἔδαφος τῆς Ἀνεμωρείας· ἐστὶ δὲ πόλις Φωκίδος· ποθοῦντες Ἄμφισσαν· ἐστὶ δὲ πόλις Φωκίδος· καὶ τὰς ἐνδόξους Ἄβας· ἐστὶ δὲ μία τῶν Τριάδων. Ὦ ταλαίπωρε Σήταια· ἐστὶ δὲ μία τῶν Τρῳάδων· σοὶ δὲ ὁ θάνατος πρὸς ταῖς πέτραις μενεῖ δυστυχής, ταῖς τὰ γυῖα δεσμούσαις σιδηραῖς ἐλεεινῶς ἐκτεταμένη ἀποθανῇ, ἐμπρήσασα τὰς ναῦς τῶν δεσποτῶν· ἀπόβλητον[4] θρηνοῦσα πλησίον Κράθιδος ποταμοῦ Ἰταλίας γυψὶ σπάραγμα τοῖς φοινικοῖς τὸ σῶμα. Ἐκείνη δὲ ἡ πέτρα· ἐπειδὴ Σήταια ὠνομάσθη· πρὸς τὸν πόντον βλέπουσα κληθήσεται.

Οὗτοι δὲ τῶν Πελασγῶν περὶ τὰς ῥοὰς τοῦ Μέμβλητος ποταμοῦ Ἰταλίας πλησίον Λευκανῶν, τὴν Κέρνην νῆσον, παραγωγῶς, ἐκπεπλευκότες, ὑπὲρ τὸν Τυρσηνὸν πόρον[5] Λάμητος ποταμοῦ Ἰταλίας ἐν Λαμητίαις δίναις οἰκήσουσιν· ἔθνος Ἰταλίας οἱ Λευκανοί· καὶ τούτους μὲν λῦπαι καὶ συμφοραὶ πολυσχεδεῖς ἀνυπόστροφον θρηνοῦντας τύχην ἕξουσιν ἕνεκα τῶν δυσγάμων βιαστικῶν μίξεων.

1090—1122. Οὐδ' οἱ χρόνῳ μολόντες ἀσπαστῶς· οὐδ' οἱ πολλῷ τῷ χρόνῳ ἀναστρεφόμενοι εἰς τοὺς οἴκους ἀσμένως εὐχῆς ἄξιον ἐκλάμψουσιν ἢ ἐκκαύσουσι, περιφραστικῶς, τὰ θύματα, τὴν χάριν ἀποδιδόντες τῷ Διΐ· τὰ γὰρ δύο ἐπώνυμά εἰσι τοῦ Διός. Τοιαύταις δὲ ὁ Ναύπλιος Παλαμήδους πατὴρ μηχαναῖς οἴκους φθείρων, ἀπατήσει καὶ πλανήσει τῶν ὁμολέκτρων ἀνδρῶν, διὰ τὸ μάχιμον, τὰς κατ-

---

1) Cod. Ναυβολείου. 2) Deest versus.
3) Cod. ἐπειδὴ ἡμεῖς Κρίσσαν ἀνατολικήν.
4) Incipit Cod. fol. 52. rect. 5) Cod. πόθον.

οικιδίους ὄρνις (sic), μεταφορικῶς δὲ τὰς γυναῖκας τῶν Ἑλλήνων· πῦρ γὰρ ἀνάψας καὶ λαμπάδα ποιήσας περὶ τὰ κοῖλα τῆς Εὐβοίας ἐπλάνησε τοὺς Ἕλληνας, καὶ διέφθειρεν αὐτοὺς καὶ τὰς ναῦς αὐτῶν· οὐδὲ τοῦ πένθους παύσονται αἱ δυσμενεῖς λαμπάδες· τὸν Παλαμήδην δὲ λέγει διὰ τὸ ἀκμαῖον· διαφθαρέντα, ὅντινα νεόθαπτον κρύψει ποτὲ ἐν τῇ κληρουχίᾳ. Ὁ μὲν γὰρ περὶ τὰ λουτρά, ὁ Ἀγαμέμνων, τὰς μὴ ἐχούσας ἐξόδους ἐπιζητῶν ὁδούς· τὸ στόμα τοῦ ἱματίου λέγει· ὡς ἐν δικτύῳ συμπεπλεγμένος ἢ τεταραγμένος, τυφλὰς ζητήσει ταῖς χερσὶ τοῦ λίνου ἀδιεξοδεύτους ῥαφάς. Ὑπὸ τὴν θερμὴν δὲ τοῦ λουτροῦ πηδῶν ἢ ἀλλόμενος στέγην, τὸν τρίποδα καὶ τὸ ἀγγεῖον τοῦ τρίποδος ἐν τῷ ἐγκεφάλῳ ῥανεῖ, πληγεὶς σκεπάρνῳ τὸν κόγχον· ἐστὶ ὀστοῦν περὶ τὸν ἐγκέφαλον· τῷ εὐακονήτῳ μεταξύ· ἡ ἐλεεινὴ δὲ ψυχὴ τὸ Ταίναρον ἀκρωτήριον πετασθήσεται, τὴν λυπηρὰν τῆς λεαίνης εἰσιδοῦσα οἴκου φυλακήν· λέγει δὲ τὴν Κλυταιμνήστραν. Ἐγὼ δέ, ἡ Κασσάνδρα, πλησίον τῆς πυέλου ἀναιρεθήσομαι τῷ πελέκει· ἐστὶ δὲ ἔθνος Παφλαγόνων οἱ Χάλυβες· συντετριμμένη· ἀφ' οὗ ὁ κλάδος τῆς πεύκης, ἢ τὸ στέλεχος τῆς δρυός, ὅπως τις ὑλοτόμος, ὁ ἐν τῷ ὄρει διατρίβων ἐργάτης, τὸ πλατὺ νεῦρον τοῦ αὐχένος κόψει καὶ τὸν μεταξὺ τῶν φρενῶν τόπον· καὶ ὅλον ὑβρίζουσα καὶ ἀφανίζουσα ἐν τοῖς φόνοις τὸ νεκρὸν σῶμα ἡ ἔχιδνα Κλυταιμνήστρα· ἔλαβε δὲ εἶδος ἀντὶ εἴδους· καὶ ἐπὶ τοῦ αὐχένος βᾶσα, πληρώσει τὸν γέμοντα θυμόν[1]· ὁμοῦ ὡς μοιχὸν καὶ ἐπιβάτην καὶ οὐ δορυάλωτον τιμὴν ἡ βαρύζηλος πολυστένακτα τιμωρουμένη. Βοῶσα μὴ ἀκούοντα τὸν δεσπότην, ἀναδραμοῦμαι κατ' ἴχνος, ὡς ὑπ' ἀνέμου κουφιζομένη τοῖς πτεροῖς, ἐξ οὗ, ταχεῖα· σκύμνος δὲ ὁ Ὀρέστης τοῦ πατρὸς ζητῶν τὸν φόνον, εἰς τὰ σπλάγχνα τῆς ἐχίδνης μητρὸς Κλυταιμνήστρας τὸ ξίφος βάψει αὐτόχειρ, ἐμφύλιον κακὸν μίασμα τῷ κακῷ ἰώμενος.

1123 — 1175. Ὁ ἐμὸς δὲ ἀνήρ, ὁ βασιλεὺς τῆς δούλης νύμφης, Ἀγαμέμνων, τοῖς πανούργοις Σπαρτιάταις Ζεὺς ὀνομασθήσεται·[2] Οἴβαλος βασιλεὺς Λακεδαιμονίας. Οὐ μὴν ἐμὸν σέβας ἀκατονόμαστον τοῖς ἀνθρώποις ἀφανισθὲν αὐτόθι γενήσεται, τῷ τῆς λήθης σκότῳ· ναὸν δέ μοι οἰκοδομήσουσιν οἱ Ἰταλῶν ἀρχοὶ παρὰ ταῖς ὄχθαις τῆς Σάλπιδος λίμνης Ἰταλίας, καὶ οἱ τὴν Δάρδανον πόλιν Ἰταλίας κατοικοῦντες, οἱ

1) Desunt verba ἀγρίας χολῆς. 2) Deest versus.

πλησιόχωροι τῶν ναμάτων τῆς λίμνης. Αἱ κόραι δὲ τὸν πρέποντα τῆς παρθενίας γάμον· Ἑκτόρειος κόμη λέγεται ἡ τὰ ὀπίσω καθιεμένη, τὰ δὲ ἔμπροσθεν κεκαρμένα[1] ἔχουσα· κεκαλλωπισμέναις θριξίν, ὅταν θέλωσι τοὺς νυμφίους ἐκφυγεῖν, ἀρνούμεναι τούτους ἢ διὰ δυσμορφίαν, ἢ διὰ γένους ψόγον καὶ μῶμον, τὸ ἐμὸν περιλαβοῦσιν εἴδωλον ταῖς χερσί, δύναμιν ἢ ἰσχὺν ἢ βοήθειαν κτώμεναι ὁμοῦ τὴν ἐσθῆτα τῶν Ἐριννύων τὴν φαιάν, καὶ πρόσωπα χροὰς βεβαμμέναι τοῖς βαπτηρίοις[2], τοῖς πυῤῥοῖς φαρμάκοις. Ἐκείναις δὲ ἐγὼ ἐπὶ πολὺ ἄφθαρτος θεὰ ταῖς θυρσοφόροις γυναιξὶ φωνηθήσομαι. Πολλαῖς δὲ γυναιξὶ κατασκευάσω πένθος αὐτόθι στερισκομέναις παρθένων, αἳ τὸν Αἴαντα τὸν Λοκρόν, τὸν ἀθέσμως αὐτῇ μιχθέντα, τῆς Ἀφροδίτης θεᾶς τὸν λῃστὴν καὶ ἅρπαγα, μακρὸν στενάζουσαι εἰς τὸν ἀνάρμοστον κλῆρον τὰς κόρας πέμψουσι γάμων ἐστερημένας. Λάρυμνα, καὶ αἱ λοιπαὶ πόλεις Λοκρίδος· Σπερχειὸς δὲ ποταμὸς Θεσσαλίας· πόλεις Λοκρίδος· αἱ τῶν Λοκρῶν ἀγυιαί, καὶ ὄρος Λοκρίδος, καὶ πᾶς ὁ τοῦ Ὁδοιδόκου, πατρὸς Ὀϊλέως, πάππου Αἴαντος· καὶ Ὀϊλέως οἶκος· ὑμεῖς χάριν τῶν ἐμῶν δυςσεβῶν γάμων τιμωρίας τῇ θεᾷ Ἀθηνᾷ ἀποτίσετε[3], τὸν χιλιετῆ χρόνον· ὧρος γὰρ ὁ ἐνιαυτός· τὰς ἀνυμφεύτους· κλήρῳ γὰρ ἐστέλλοντο· κόρας γηροβοσκοῦσαι. Αἷστισι ξέναις ἐν ξένῃ ἀνενταφίαστος τάφος ἐν ψάμμῳ ὑπὸ τοῦ κλύδωνος λυπρὸς ἀφανισθήσεται, ὅταν δὲ τὰ μέλη τοῖς ἀγρίοις ξύλοις συμφλέξῃ τὸ πῦρ, εἰς τὴν θάλασσαν τὴν σποδὸν ἐκρίψει, τῆς ἐκ τῶν λόφων τοῦ ἀκρωτηρίου Τροίας ἐφθαρμένης. Αἱ δὲ λοιπαὶ νύκτωρ ταῖς ἀποθνησκούσαις ἴσαι· τόπος ἐν Τροίᾳ ἡ Σιθών, ἀντὶ τοῦ, εἰς τὴν Τροίαν παραγενήσονται· λαθραῖα κἀκκέλευθα περισκοποῦσαι, μέχρις ἂν εἰςδραμῶσιν εἰς τοὺς οἴκους τῆς Ἀθηνᾶς, ἱκετίδες προςευχαῖς τὴν Ἀθηνᾶν παρακαλοῦσαι· τῆς δὲ θεᾶς καλυνοῦσι τὸ ἔδαφος κοσμοῦσαι, τῷ ὕδατι καθαρὸν ποιήσουσι, τὴν ἀστεργῆ ὀργὴν τῶν πολιτῶν φυγοῦσαι.[4] ἀνὴρ Ἰλιεύς, ἤγουν Τρώς, τὰς κόρας ἐπιτηρήσει λίθον ἐν ταῖς χερσὶ κρατῶν, ἢ ξίφος μέλαν, ἢ ταυροκτόνον ἰσχυρὰν πέλεκυν, ἢ ξύλον ἀπὸ Φαλακραίου ὄρους, ἐπιθυμῶν κορέσαι τὴν χεῖρα τὴν διψῶσαν φόνου· ὁ δῆμος

1) Incipit Cod. fol. 52. vers. 2) Cod. βακτηρίοις.
3) Cod. ἀποτίσεται.
4) Desunt verba πᾶς γάρ.

δὲ ἄνευ ἄτης καὶ βλάβης τὸν ἀναιροῦντα ἐπαινέσει, τῷ θεσπίσματι χαράξας καὶ νόμον ποιήσας τὸ ἀλώβητον γένος.

1174 — 1213. Ὦ μῆτερ, ὦ δύςμητερ, οὐδὲ σὸν κλέος ἄπυστον ἔσται· ὦ μῆτερ, ὦ κακόμητερ, οὐδὲ ἡ σὴ δόξα ἀνάκουστος ἔσται· τὴν Ἑκάβην[1] λέγει· ἀπὸ Περσέως γὰρ καὶ Ἀστερίας[2] ἡ τρικέφαλος Ἑκάτη· Βριμὼ παρὰ τὸ βριμᾶσθαι· ποιήσει ἀκόλουθον ἢ ἐπίσκοπον, ταῖς ὑλακαῖς ἐκφοβοῦσαν ταῖς νυκτεριναῖς τοὺς ἀνθρώπους· ὅσοι τῆς μεδούσης τῆς Θρᾳκικῆς Ἑκάτης τὰ ἀγάλματα μὴ σέβωσι φρυκτωρίαις ἢ λαμπάσι, κλάδοις τὴν Ἑκάτην τὴν θεὰν ἐξευμενίζεσθαι. Ὁ νησιωτικὸς δὲ κενοτάφιον τῇ Ἑκάβῃ[3] σεβάσμιον τὸ ἀκρωτήριον Σικελίας ἕξει, καὶ ταῖς ἀρχοντικαῖς χερσὶν οἰκοδομημένον ἔμπροσθεν τῶν ῥείθρων τοῦ Ἑλώρου ποταμοῦ Σικελίας τεθαμμένης· ὅςτις παρὰ ταῖς ἀκταῖς τῆς τλήμονος τὰς ἐπὶ νεκροῖς χεύσεις ῥανεῖ, τῆς Ἑκάτης τὸ μήνιμα τῆς θεᾶς φοβούμενος. Πρῶτος δὲ τὸν λιθοβόλον ῥίψας λίθον τῷ Ἅιδῃ τῶν μελάνων θυμάτων ἀπαρχὰς δώσει· λέγει δὲ τὸν Ὀδυσσέα.

